Ἑρμ. Ἐνταῦθα φησὶν ὁ λόγος· ὁ γὰρ ἀκόρεστος ᾅδης πρὸς

λειπούσης ἐκ τοῦ ἀνὰ χεῖρας κώδικος, ἀλλὰ προτασσομένης τῆς παρούσης ἐν ἄλλοις κώδιξιν. 3. πρὸς τὸν νῦν — 4 ῥεύσαι = φθείρεσαι (ῥέω). — τῆς ἡμέρας ταύτης = τοῦ νῦν αἰῶνος (τοῦ παρόντος κόσμου) — 6 δαίμονας καλεῖ εὑρήσει —

9, 7 αὐτῷ εὐλογῶν εὔξου μαι.

10, 1 Τὸν αὐλόν. (ἐν τῇ ἑρμηνείᾳ ὀρθῶς). 2 ἀνακηρύττων 3. πνιγεὶς ἐν ταῖς 6.

11, 1 γαυροί. 4 νόσσων παθῶν—5 τουσοῦτον καὶ καὶ οἱ δαίμωνες —

12, 2. Ἑρμ. (Γράψας πρῶτον ὁ βιβλιογράφος ἑρμηνεία καὶ κατιδὼν τὸ λάθος, ἠθέ-

ΒΙΒΛΙΟΘΗΚΗ ΛΑΟΓΡΑΦΙΚΟΥ ΑΡΧΕΙΟΥ ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἑαυτὸν εἵλκε πρὸ τῆς Χριστοῦ καταβάσεως· ἀφ' οὗ δὲ τὸ τοῦ Χριστοῦ μυστήριον γέγονεν δι' ἡμᾶς τοὺς ἀνθρώπους τοὺς εἰς αὐτὸν πιστεύοντας, ἐγένετο ὁ ᾅδης ἀναγόμενος διὰ τοῦ Χριστοῦ.

13. Ὁ μῦθος. Ὁ κόσμος ἐποντίζετο καὶ ἡ ἐμὴ γυνὴ ἐστιλβώνετο.

Ἑρμ. Ἐνταῦθα βλέπει ὁ νοῦς τῆς ψυχῆς τὰς αἰσθήσεις ὑπὸ τοῦ κακούργου ἐχθροῦ αἰχμαλωτιζομένας· λέγει· ὁ κόσμος ἐποντίζετο, τουτέστιν ἡ ψυχὴ ὑπὸ τοῦ διαβόλου, καὶ ἡ ἐμὴ γυνή, ἤτοι τὸ γήινον σῶμα ἐστιλβώνετο καὶ ἐκαλλωπίζετο, καλλωπίσμασι ματαίοις καὶ ἀπατηλοῖς.

14. Ὁ μῦθος. «Ἔποικες, γυνή, τό σε εἶπα; — Ναί, ἔποικα καὶ τό με οὐκ εἶπας».

Ἑρμ. Ἐνταῦθα ὁ λόγος πρὸς τὴν Εὔαν λέγει· ἐποίησας τό σε εἶπα; ὅτι ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου φαγῇς, ἀπὸ δὲ τοῦ ξύλου τοῦ ἐν μέσῳ ⟨τοῦ⟩ παραδείσου μὴ φαγεῖν· ἡ δὲ Εὔα ἔφη, Ναί, Κύριε, ἐποίησα καὶ τό με οὐκ εἶπες.

15. Ὁ μῦθος. Ὅταν σε εἴπῃ τις, νὰ γέννημα, τὸ σακκίν σου καὶ τρέχα.

Ἑρμ. Ἐνταῦθα ὁ λόγος πρὸς τὴν ψυχὴν ποιεῖται, καί φησιν. Ὦ ψυχή, ὅταν ἀκούσῃς τοῦ καλοῦντος σε εἰς δόσιν σωτηρίου γεννήματος ἀφθάρτου, ἵνα μὴ πεινάσῃς εἰς τὸν μέλλοντα αἰῶνα, ὅταν ὁ ἰσχυρὸς καὶ μέγας λιμὸς τῆς φοβερᾶς ἐκείνης ὥρας ἔλθῃ, σπεῦδε εὐθὺς ἀναλαμβανόμενος τὸ σακκίον, τουτέστιν τοῦ σώματος, καὶ τρέχε τὴν καλὴν ὁδὸν ⟨τῆς⟩ σωτηρίας, τὴν στενὴν καὶ τεθλιμμένην, τὴν ἀπάγουσαν ὅπου ὁ οὐράνιος κεῖται ἄρτος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

λησε διὰ τῆς προσθήκης ἑνὸς θ ἄνωθεν τοῦ μ νὰ διορθώσῃ εἰς μῦθος. Σημείωσις Σ. Π. Λάμπρου) 3 Ἔλκει πρὸς τῆς Χρ.

13, 6 καλώπισμα ματαίοις —

14, 3. Τὸ κείμενον συγκεχυμένον. Μετὰ τὸ *Ἑρμην.* κεῖται ἡ κατωτέρω ἀρ. 15 παροιμία· ταύτης δὲ ἡ Ἑρμηνεία μετὰ τὴν τῆς ὑπ' ἀρ. 14 προτασσομένων αὐτῆς τῶν δηλουσῶν ἑκάστην παροιμίαν λεξεων «ὁ *μῦθος*».

15, 1 νὰ γενη — 4 - 5 γενήματος ἄφαρτον —

16. Ὁ μῦθος. Καὶ φοβεῖται καὶ φοβερίζει.

Ἑρμ. Ὁ λόγος φησίν, ⟨ὅτι⟩ ὅταν ὁ διάβολος ἴδῃ ψυχὴν ἐγειρομένην νήφουσαν πρὸς τὸν θεὸν καὶ τὸ ὅπλον τοῦ σταυροῦ ἀραμένην, ἄπρακτα τὰ βέλη αὐτοῦ γίνονται· καθὼς ὁ Χριστός φησι πρὸς ἡμᾶς· [φ. 71α] Ἐθεώρουν τὸν Σατανᾶ ὡς ἀστραπὴ πεσόντα ἐκ τοῦ οὐρανοῦ καὶ ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· φοβερίζει δὲ τὸν αὐτοῦ καταφρονοῦντα, ὅτι τὰ βέλη τοῦ δυνατοῦ ἀκονημένα ⟨μᾶλλον⟩ διστόμου μαχαίρας· καὶ τίς ἱκανὸς σῶος φυλαχθῆναι ἀπὸ τοῦ ἐχθροῦ ἅμα καὶ ἀνθρωποκτόνου;

17. Ὁ μῦθος. Εἴχαμεν σκύλον καὶ ἐβοήθει τοῦ λύκου.

Ἑρμ. Περὶ τοῦ προδότου ἐκείνου Ἰούδα, εἴρηκεν.

18. Ὁ μῦθος Τὸ κέρδος ἐξυπνᾷ τὸν ἄνδρα.

Ἑρμ. Ἐπεὶ γὰρ ὁ θεὸς λόγος, μὴ φέρων ὁρᾶν ἀλλύμενον τὸν ἄνθρωπον, ὃν οἰκείαις χερσὶν διεμόρφωσεν [αὐτόν], χεῖρα δέ ἐστιν ἡ οἰκεία αὐτοῦ φιλανθρωπία, ὅτι ἀπὸ τοῦ μὴ ὄντος ἐποίησε τὸν ἄνθρωπον, ὕστερον δὲ ἐγένετο ἄνθρωπος, δι' ἡμᾶς κατελθὼν ἐκ τῶν πατρικῶν αὐτοῦ κόλπων, ὡς αὐτὸς οἶδεν καὶ ὡς ηὐδόκησεν, γεννηθεὶς ἐκ τῆς ἁγίας παρθένου ἀνερμηνεύτως καὶ σταυρωθεὶς καὶ ταφεὶς καὶ κατελθὼν ἐν τῷ ᾅδῃ, εὗρε τὴν ἀπολλυμένην δραγμὴν καὶ διὰ τοῦτο λέγει· τὸ κέρδος ἄνδρα ἐγείρει, δῆλον τὸν Ἀδὰμ ἐκ τὸν Ἅδην.

19. Ὁ μῦθος. Κακὴ ἐπισκοπὴ τὸν ἐπίσκοπον τρέφει.

Ἑρμ. Ὁ ⟨λόγος⟩ τὸν ἁμαρτωλὸν ἄνθρωπον λέγει, ὅτι ἁμαρτωλοὶ ἄνθρωποι τυγχάνομεν καὶ τὸ δοθέν μοι τάλαντον οὐκ εἰργασάμην, ἀλλ' ὁ ἐπίσκοπος ὁ θεὸς ἡμῶν εὐφραίνεται ὡς ἐπὶ τῆς χήρας τὰ δύο λεπτά, καὶ ὅστις ⟨ἂν⟩ ποτίσῃ ποτήριον ἓν ψυχροῦ ὕδατος ἕνεκεν ἐμοῦ, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

16. 3 νύμφουσα — ἀράμενος 8 ἀκονημένα, δίστομον μάχαιραν. Πρβλ. Παροιμ. Σολομ. ε'. 4.

17, 2 πρὸ ἑκάστου τῶν Ἰουδαίων εἴρ.

19, 3. Βλ. Ματθ. κε'. 14. 18. – 4 Μάρκ ιθ', 42. 5 ὅς τι ποτίσοι, — Βλ. Ματθ. ι', 42. Μάρκ. θ', 41.

20. Ὁ μῦθος. Ὅτι καλὸν ἀρνὶν δύο μάννας βυζάνει.

Ἑρμ. Καλὸν ἀρνὶν λέγει τὸν ἐκπληροῦντα τὴν εὐαγγελικὴν φωνήν, ὡς τὸ ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς ἰσχύος σου καὶ ἐξ ὅλης τῆς διανοίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου· ἰδοὺ ⟨ἡ⟩ μία μάννα, ⟨ἡ δὲ δευτέρα⟩ ἥτις ἐστίν, ἀγαπήσεις τὸν πλησίον σου, ὡς ἑαυτόν.

21. Ὁ μῦθος. Ὅταν θέλω κάμνει καὶ πεινᾷ, κἂν ἂς κοιμοῦμαι καὶ ἂς πεινῶ.

Ἑρμ. Ὁ διάβολος λέγει, ὅτι ἐὰν θέλω σπουδάζειν νύκτα καὶ ἡμέραν καὶ πᾶσαν ὥραν ἵνα καθέξω [φ. 71β] πάντας εἰς τὴν ἀποκειμένην ἀπώλειαν, καὶ ἀπρακτοῦσί μου τὰ βέλη διὰ τοῦ θεανθρώπου λόγου, τῶν ἀνθρώπων μετανοούντων, καὶ ἵνα τι κενοποιῶ, μᾶλλον δὲ προξενῶ αὐτοῖς τὴν σωτηρίαν τοῦ θεοῦ, ὡς τὴν πόρνην, ὡς τὸν ληστὴν καὶ ὡς τὸν τελώνην καὶ Μανασσήν.

22. Ὁ μῦθος. Τὸ ὀσπίτιν σου σφάλιζε καὶ τὸν γείτονάν σου κλέπτην μὴ κάμνῃς.

Ἑρμ. Πρὸς τὴν ψυχὴν ὁ λόγος ἔχει, καί φησιν. Ὦ ψυχή, σφάλιζε τὸν σὸν νοῦν καὶ ⟨τὸ⟩ τῆς συνειδήσεως κιβώτιον καὶ χαλίνου τὰς σωματικάς σου ὀρέξεις διὰ τῶν πέντε αἰσθήσεων, ἵνα μὴ ὁ κλέπτων σου γείτων, ὁ διάβολος, τὰς ἀρετάς σου αἰχμαλωτεύσει σοι, ὡς ποτε τοὺς γενάρχας αἰσθητῶς καὶ νοητῶς. Αἱ δὲ πέντε αἰσθήσεις εἰσὶν αὗται· ὅρασις ὄσφρησις ἀκοὴ γεῦσις καὶ ἁφή.

23. ⟨Ὁ⟩ μῦθος. Οὐδεὶς ἀπὸ τῶν γονέων σου κονταρέαν ἔδωκε.

Ἑρμ. Ἡ ψυχὴ πρὸς τὸ σῶμά φησιν. Οὐδεὶς τοῦ πηλίνου σώματος τῶν γενομένων ἀνθρώπων τὸν ὅμοιον τρόπον, ὅστις κατ' ὄναρ ὁρᾷ τὸν πόλεμον, εἰμὴ οἱ ἄνωθεν αὐτοῦ συμμαχήσει δεξιὰ κατὰ τὸν Δαυίδ τὸν λέγοντα: Ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες.

20, 3. Μάρκ. ιδ', 30. 31
21. 3 ὅταν τι ἐάν —
22, 8 ἁμφή.
23, 2. Τὸ κείμενον τῆς ἑρμηνείας διεφθαρμένον καὶ ἀδιανόητον. 3 ὥστις κατόναρ —

24. Ὁ μῦθος. Κηπουρὲ συνέπαρε καὶ νά, ψήψη.

Ἑρμ. Πλάσας ὁ Θεὸς τὸν ἄνθρωπον προσέταξεν αὐτὸν ἐν τῷ παραδείσῳ διάγειν ⟨καὶ⟩ φυλάττειν τὴν ἐντολὴν αὐτοῦ· καὶ οὐκ ἐφύλαξεν. Εἶπε πρὸς αὐτὸν ὁ κύριος: Ἔξελθε ἐκ τοῦ θείου παραδείσου, κηπουρέ, καὶ ἐκ τοῦ θείου κήπου συνέπαρε· καὶ στραφεὶς πρὸς τὸν ἀπατήσαντα αὐτὸν ὄφιν καὶ τὴν Εὔαν εἶπε· Νὰ ψήψη, γυμνὸς εἰσῆλθον, γυμνὸς καὶ ἐξέρχομαι· ἀλλὰ καὶ ὑμεῖς οἱ ἀπατήσαντες μετ᾽ ἐμοῦ.

25. Ὁ μῦθος. Σαλοὺς καὶ ἐξήχους θεὸς οὐ κρίνει.

Ἑρμ. Σαλοὺς ὁ λόγος τοὺς κατ᾽ οἰκονομίαν πάσχοντάς φησι, καθὼς ὁ Χριστὸς λέγει: Ἐὰν μὴ ἐπιστραφῆτε καὶ γίνεσθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Λοιπὸν τοὺς κατὰ παραχώρησιν θεοῦ ἐξήχους οὐ κρίνει ὁ θεὸς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ [φ. 72ᵃ], δύο γὰρ κολάσεις ὁ θεὸς οὐκ ἐποίησεν.

26. Ὁ μῦθος. Πᾶν ζῷον τὸ ὅμοιον αὐτοῦ ἀγαπήσει.

Ἑρμ. Ὁ λόγος ἔφη πρὸς τὸ οἷος ὁ χοϊκὸς τοιοῦτοι καὶ οἱ χοϊκοί, καὶ οἷος ὁ ἐπουράνιος τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· ὅταν μὲν τοῦτο, ἤγουν τὸ ζῷον, φρονῇ τὰ τοῦ κόσμου καὶ ἡ ψυχὴ θλίβεται· ὁμοίως καὶ τὸ σῶμα, ἐὰν ⟨ἡ ψυχὴ τὰ οὐράνια⟩ πο⟨θ⟩ῇ, ⟨ὡς⟩ ἄϋλόν τι πρᾶγμα, καὶ ⟨τούτων⟩ μετέχει, τὸ γήινον σῶμα τρύχεται, ὡς μὴ τῆς ⟨αὐτῆς⟩ φύσεως ⟨εἰς⟩ ἀμφότερα ὑπαρχούσης.

27. Ὁ μῦθος. Ἡ σκύλα σπουδάζουσα τυφλὰ σκυλάκια γεννᾷ.

Ἑρμ. Ἐπεὶ μὲν ἡ συναγωγὴ τῶν Ἰουδαίων σπεύδει παντοίως τὸν μωσαϊκὸν φυλάττειν νόμον, καὶ ἐπεὶ τῶν παίδων οἱ ὀφθαλμοὶ βλέπουσιν περὶ τὴν ἑβδόμην ἡμέραν, τὰ δὲ περὶ τὴν ὀγδόην κυνάρια, οὕτως καὶ εἰς αὐτοὺς γίνεται· τινὲς μὲν τῶν Ἰουδαίων εἰσέρχονται εἰς τὸ

25, 1. Καλοὺς καὶ ἐ. 2. Καλοὺς ὁ λ. 4 Λοιπὸν οὖν κατά—

26, 3 τοῦτον— 5 ἐὰν εἰς τὰς ἀνωρὰς ποιῇ ἄϋλον τὸ πρᾶγμα καὶ μετέχει—7 τῆς φύσεως τὰ ἀμφ. ὑπάρχει.

27, 3. Ἰδαίων σπ. παντὸς τῶν μωσαϊκῶν φιλῶν τὸν νόμον. — 4 καὶ ἐπὶ τῶν παίδων σφάλμα βλέπουσιν ἐπὶ τὴν ἑ. ἡμ. τὰ δὲ παρὰ τὴν ὀ. κυνάρια, οὕτως καὶ εἰς αὐτὸν γ 7 τινῶν δὲ—

ἅγιον βάπτισμα καὶ βλέπουσι τὸ φῶς τὸ σωτήριον, τινὲς δὲ ἐπιμένουσιν ἄχρι καὶ τοῦδε αἰῶνος καὶ τότε ὄψονται εἰς ὃν ἐξεκέντησαν.

28. Ὁ μῦθος. Ὅσον καὶ ἂν ἀποπέσῃ τὸ ὑννὶν βελόνι οὖν γίνεται.

Ἑρμ. Ἐνταῦθα ὁ Σατανᾶς καὶ ἐχθρὸς ἡμῶν διάβολος τὸν λόγον ⟨ποιεῖται⟩ καί φησιν, ὅσα ἂν ἐταπεινώθην ὑπὸ τοῦ θεανθρώπου λόγου καὶ οὐκ ἐνεργοῦσί μου τὰ βέλη, ὡς πρὸ τῆς αὐτοῦ καταβάσεως, πάλιν ἀπὸ τῶν πολλῶν τὸ ὑννὶν βελόνι οὖν γίνεται· οὐ παύσομαι τύπτειν τοὺς εἰς αὐτὸν πιστεύοντας, ἤτοι τὸν Χριστόν.

29. Ὁ μῦθος. Κόπτε χρέον, κόπτε λύπην.

Ἑρμ. Ἐνταῦθα ὁ λόγος καθολικῶς πρὸς πάντας φησί, [τουτέστι] ⟨κόπτε⟩ χρέος μέγα καὶ ἄλυτον· δῆλον τῶν ἁμαρτημάτων σου τὸ χειρόγραφον· λῦσον διὰ τοῦ Κυρίου, ὅπερ ἔπλεξας μακρὸν σχοινίον καὶ πολυποίκιλον. ⟨Κόπτε λύπην⟩, τουτέστιν τῆς φοβερᾶς καὶ φρικτῆς ἡμέρας ἐκείνης κόψον ⟨τὴν κρίσιν⟩ διὰ νηστείας καὶ ἐλεημοσύνης καὶ ἐξομολογήσεως, ἵνα μὴ λυπῆσαι ἐκεῖ μεγάλως.

30. Ὁ μῦθος. Τοῦ Αὐγούστου τὰ δεκάλιτρα τὸν Μάην ἀναζητοῦνται.

Ἑρμ. Αὔγοστον ὁ λόγος τὸν Χριστὸν λέγει, δέκα λίτρας δέκα τάλαντα. Μάϊον δὲ λέγει [φ. 72^{b}] τὴν ἡμέραν τῆς κρίσεως. Ὅταν τὸ ἔαρ τῆς θείας ἐπιλάμψεως ἀνατελῇ ἐν ταῖς ψυχαῖς τῶν δικαίων, τότε ζητηθήσονται καὶ τοῦ Αὐγούστου τὰ δεκάλιτρα, τουτέστι τοῦ Χριστοῦ τὰ δέκα τάλαντα, ἅπερ κατεπίστευσεν τοῖς ἀνθρώποις εἰς σωτηρίαν, ἵνα ἐκεῖ ἀκούσωσι τό, Εὖ δοῦλε ἀγαθέ, εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.

28, 1. βελονίου γ. 3 ἡμῶν διαβάλλει τὸν λ. καὶ φ. 6 βελονίου γ. οὐ πλανῶ μὲν καὶ πίπτει τοὺς ὑπ' αὐτὸν π.

29 1. χρέων—3 καὶ ἄλυπον—4. λύσιν διὰ τοῦ Κυρίου, ὅπως πλέξαν μικρὸν σχ. 5 καὶ δικαστῆς ἡμέρας ἐκ. 6 κόψονται διὰ — 7 λυπῆσθε —

30, 1. Τὰ σ^{c} δέκα [τὸ δ διωρθωμένον εἰς λ] λλύτρας-ἀναζητοῦντες. 3. Αὔγοστος

31. Ὁ μῦθος. Ὁ θεὸς πρὸς τὰ ῥοῦχα μεράζει καὶ τὴν κρυάδαν.

Ἑρμ. Σάγια καὶ ῥοῦχα ὁ θεὸς τὰ ἡμῶν ἁμαρτήματα καλεῖ, κρυάδας δὲ τὰς παιδεύσεις, ⟨ἃς⟩ δι' οἰκονομίας ἐπάγει, καθὰ καὶ Δαβὶδ καὶ Σολομὼν φάσκει. Μὴ ὀλιγώρει παιδείας Κυρίου· καὶ πάλιν, ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, ὥσπερ τὸν Ἰὼβ ἐκ τῆς αἰτίας· ὁμοίως καὶ τὸν πενθερὸν αὐτοῦ Σαούλ· ἑτέρας δὲ ἁμαρτίας καὶ ἀπροσεξίας, καταφρονήσεις τοῦ θεοῦ καὶ τοῦ δικαίου, καὶ πρὸς τὰς ἁμαρτίας καὶ τὰς παιδεύσεις, γίνεται κατὰ θείαν παραχώρησιν.

32. Ὁ μῦθος. Αὐτὰ τὰ λέγει ἦν παλαιοῦ οὐρανοῦ ἀποκλάσματα.

Ἑρμ. Περὶ τὴν πεντηκοστὴν ⟨τὰ⟩ εὑρεθέντα ἔθνη, ὅταν κατῆλθε τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐσόφισε τοὺς ἀποστόλους καὶ ἐλάλουν γλώσσαις ἑτέραις, [τὰ δὲ ἔθνη] ἔλεγον αὐτοὺς οἰνοφλύκτους μεθύειν καὶ λέγειν παλαιοῦ οὐρανοῦ ἀποκλάσματα καὶ οὐχὶ τὴν ἡμετέραν διάλεκτον. Ταῦτα δὲ τῶν ἀποστόλων τὰ ῥήματα καὶ τοῦ παλαιοῦ οὐρανοῦ ἀποκλάσματα καὶ ἀποφθέγματα Δανιὴλ προσανεφώνει καὶ Δαυΐδ. Ὁ μὲν λέγει, «Ἐκάθισεν ὁ παλαιὸς τῶν ἡμερῶν»· ὁ δὲ Δαβίδ, «Αἰνεῖτε ⟨αὐτὸν⟩ οἱ οὐρανοὶ τῶν οὐρανῶν».

33. Ὁ μῦθος. Κάμνει ὁ πίθος καὶ ὁ ῥογὸς καὶ ἀκούει ἡ γυνὴ καματερή.

Ἑρμ. Ἐνταῦθα πίθον ὁ λόγος τὴν ἀγαθὴν σπουδὴν καὶ προθυμίαν καλεῖ· ῥογὸν δὲ τὸν ἄλογον καὶ βοηθὸν τῶν ἀγαθῶν· ἀγωνιστήν, σωτῆρα Χριστὸν τὸν πλουτοδότην καὶ ψυχοσώστην· καὶ ἀκούει ⟨ἡ⟩ γυνὴ καματερή.

31, 4. Τὸ ψαλμικὸν ῥητὸν (Ψαλμ. ριζ', 18) ἐξέπεσε, διετηρήθη δὲ μόνον τὸ ἐκ τῶν Παρ. Σολομ. γ', 11 κἑ. 7 (αὐτοῦ λέγων ἐννοεῖ βεβαίως τὸν Δαυΐδ).—8 καταφρονήσεως— Τὸ κείμενον τῆς ἑρμηνείας τεταραγμένον· πληρέστερον ἐν τῷ Μαρκιανῷ Η παρὰ Krumbacher MGS. σ. 81, 20.

32, 1 ὑποκλάσματα, ἐν δὲ τῇ ἑρμηνείᾳ ἀποκλάσματα. 2 Παρὰ τὴν πεντ. εὐρ. ἔθνη—5 αὐτοῖς οἰνοτευκτὰς μεθύειν— Βλ. Πραξ. Ἀποστ δ', 13. 6 ἡμετέραν—9. Δανιὴλ ζ', 9 — 10 Ψαλμ. ρμη', 4.

33, 1 ὁ πηθείς — ἀκούει γυνὴ ἀγωνιστήν. Τὴν λ. καματερὴ παρελάβομεν ἐκ τῆς ἑρμηνείας. 3 πηθεὶς ὁ λ.— 4 λόγος δὲ τὸν ἄλλογον—

34. Ὁ μῦθος. Τὰ ἑκατὸν προσκυνήματα ἄξια φόλλης οὐκ εἶναι.

Ἑρμ. Μὴ μόνον ἑκατόν εἰσιν, ἀλλ᾽ οὐδ᾽ ἑπτάκις ἑκατὸν ἐὰν προσκυνήσῃς, δύναται ὠφέλιμον εἶναι ἐκτὸς εὐποιίας [φ. 73ᵛ] ⟨καὶ⟩ ἐλεημοσύνης. Διάθρυπτε γάρ φησιν τὸν ἄρτον σου τοῖς πένησι καὶ διάλυε πάντα σύνδεσμον ἀδικίας. Διὰ τοῦτο καὶ ὁ ἄγγελος τῷ Κορνηλίῳ εἶπε: Κορνήλιε, αἱ προσευχαί σου καὶ ἐλεημοσύναι σου ἀνέβησαν πρὸς τὸν θεόν. Ὁρᾷς πῶς συνέζευξεν ὁ θεὸς τὰ δύο καλά, τὴν ἐλεημοσύνην καὶ τὴν προσευχήν· ἐν ταύταις γὰρ ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται· ἔχουσι δὲ θεμέλιον τὴν ἀγάπην.

35. Ὁ μῦθος. Διπλοῦν σώζει καὶ μοναπλοῦν οὐ σώζει.

Ἑρμ. Πρὸς ἡμᾶς παραγγέλλει ὁ λόγος· Σὺ ἄνθρωπε, διπλοῦν σώζει πρὸς τὸ σωθῆναι, ὅπερ ἐστὶν μικρὸν καὶ κοντόν, διὰ τῶν δύο ἐντολῶν, ὧν προείπομεν ἄνωθεν· ὅτι ὁ νόμος καὶ οἱ προφῆται κρέμονται· καὶ ὅταν τὸ διπλοῦν ἐκταθὲν εἰς μῆκος ἁπλωθῇ καὶ ⟨μεῖζον γένηται⟩ σώζει πλέον ὧν ἔλεγεν· ἐπεὶ μετὰ ἐντολῶν καὶ τὴν ἀγάπην σώζονται ψυχαί, πολλὰ πλέον σώζουσιν αἱ πολλαὶ ἐντολαὶ καὶ προσευχαί.

36. Ὁ μῦθος. Ἀΐδαρον ἐκούρευαν καὶ ἀπὸ τὴν ἄλλην οὐλιζεν.

Ἑρμ. Ἀΐδαρον ⟨ὁ λόγος⟩ τὸν δολερὸν ἄνθρωπον λέγει, τὸν ἀποτασσόμενον τοῦ κόσμου καὶ τὰ τοῦ κόσμου καὶ μετὰ μικρὸν πάλιν ἐπιστρέφοντα πρὸς τὴν ἁμαρτίαν· καὶ διὰ τοῦτο λέγει ἀπὸ τὴν ἄλλην οὐλιζεν, τουτέστιν ⟨ἐν ᾧ⟩ ἦτο κουρευόμενος τὰς τρίχας, ἄλλη τῆς κεφαλῆς μερία ἐτριχονούλιζεν.

34, 1 φόλλιν—4 ὠφελῆσαι μὴ εἶναι-
θ
35, 1 Ἐύ. (ὁ βιβλιογράφος ἤρχισε νὰ γράφῃ Ἑρμηνεία, καὶ διώρθωσε μετὰ τὸ πρῶτον γράμμα). 2 παραγγέλειν — 5 ἐκτείνῃ εἰς μ 6 μετὰ, (γεγραμμένον ἄνωθεν τοῦ καί) — σώζουσι ψυχάς—
36, 1. Α. ὁ λόγος οὔρεβαν-2 «ὁ λόγος» διεγράφη ἔπειτα ἐν τῷ κώδ. ἐκ λάθους ὡς εἰκάζω, τοῦ βιβλιογράφου σκοποῦντος ἴσως νὰ διαγράψῃ τὰς δύο ταύτας λέξεις ἐκ τοῦ κειμένου τῆς παρ. 4 μετὰ μικροῦ πάλλιν ἐπιστρέφον-6 τουτέστιν ἤτοι κ.-

37. Ὁ μῦθος. Ἀηλὶ τὰ συμβάντα εἰς τὴν κατάπετραν.

Ἑρμ. Τὰ συμβάντα λέγει τὰ βάρη τῆς ἁμαρτίας [καλεῖ], κάτω δὲ πέτρα λέγει τὰ ἐν τῷ ἀέρι τελώνια τεταμένα, κατὰ τὸν Κλίμακα Ἰωάννην, ἅτινα καὶ φορολόγους καὶ ἐξεταστὰς ἐκάλεσεν, ἐξετάζοντας ἑκάστῳ περὶ τῶν πεπραγμένων αὐτῷ, εἰ ἐμετανόησεν ἀφ' ἧς ἐπλημμέλησε δι' ἐξομολογήσεως καὶ δακρύων καὶ ἐγκοπῆς τῶν κακῶν.

38. Ὁ μῦθος. Ἰδὲ ποῖον ἄγουρον πομπεύουν, οὗ τινος ἀτιμία πομπῆς οὐκ ἔνι.

Ἑρμ. Ἄγουρον ὁ λόγος τὸν διάβολον λέγει [φ. 73^{b}]· πομπεύεται δὲ καὶ ἐξουθενεῖται καὶ καταγελᾶται καὶ ἐμπαίζεται, ὅταν οἱ ἐξομολογούμενοι ἐξαγγέλλουσι πνευματικοῖς πατράσιν· ἄπρακτος καθίσταται καὶ οὗτοι εὐπραγοῦσιν.

39. Ὁ μῦθος. Ἑκατὸν Παῦλοι ἀπέθανον καὶ ὁ καθεὶς Παῦλος τὸν ἴδιον πόνον ἔκλαιε.

Ἑρμ. Καθολικὸς ὁ λόγος πρὸς πάντας οὕτω λέγει καὶ μᾶλλον ἐπὶ ἁμαρτωλούς· ἕκαστος γὰρ ταῖς ἰδίαις σειραῖς συσφίγγεται, καὶ περὶ τῶν αὐτοῦ ἁμαρτημάτων θρηνήσει.

40. Ὁ μῦθος. Ὅποῦ οἰκονομήθη ἡ ἁγία Σοφία μὲ τῆς φόλεως τὸ ἐλᾶδιν.

Ἑρμ. Καὶ οἰκονομήθη ἡ ἁγία Σοφία· ὁ λόγος τοῦ θεοῦ ἐσαρκώθη δι' ἡμᾶς, Χριστὸς ὁ θεὸς ἡμῶν, καὶ ηὐφράνθη μετὰ τῶν δύο λεπτῶν τῆς χήρας καὶ ἐμαρτύρησε λέγων· Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἡ χήρα αὕτη πλεῖον πάντων ἔβαλεν· καὶ ὅστις ποτίσῃ ποτήριον ἕνεκεν ἐμοῦ τῷ πτωχῷ ἢ κομμάτιν ἄρτου, ἐπεὶ ἐμὲ εὐφραίνει, κἀγὼ εὐφρανῶ αὐτὸν ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι καὶ παρέξω αὐτῷ ζωὴν τὴν αἰώνιον.

37, 1. Δηλεὶ-κατὰ πέτραν· ἐν τῇ ἑρμηνείᾳ κάτω πέτραν. 2. καλῆ κάτω —3 τὸν κλίβανον Ἰωάννου. 4 φορολόγος καὶ ἐξετάς — 5 αὐτοῖς· ἢ ἐμ.—6 ἐνκοποῖς —

38, 1 ἀτιμίας 5 ἄπρακτοι καθίστανται-

39, 4 περὶ τῶν αὐτῶν-

40, 1 τῆς φολεοῦ τὸ ἐλάδιν. 8, εὐφραίνω αὐτῷ

41. Ὁ μῦθος. Καὶ ἂν μὲ τὸ γελάσῃς, νὰ φορέσω τὸ ἱμάτιόν σου.

Ἑρμ. Ὁρῶν ὁ διάβολος τὴν ἑαυτοῦ δύναμιν τῇ δυνάμει τοῦ σταυροῦ ὑπὸ τῶν ἀγωνιζομένων ⟨κατασυντριβομένην;⟩ μαίνεται, ἐπαπειλούμενος τοὺς ἐναρέτους λόγοις καί φησιν· Ἐὰν εὐμοιρήσω κἀγὼ καιροῦ ⟨οὐκ ἐγλυτώνεις, εἰ δὲ⟩ καὶ ἐγλυτώσῃς τὰς βουλὰς τῶν μηχανημάτων μου, νὰ περιβάλλωμαι κἀγὼ τὸ ἱμάτιόν σου, τουτέστι τὸ φθαρτὸν καὶ πήλινόν σου σῶμα.

42. Ὁ μῦθος. Ὁποῦ ἔχει περισσὸν πιπέριν, βάνει καὶ εἰς τὰ λάχανα.

Ἑρμην. Ἐνταῦθα ὁ λόγος πρὸς τὸν ἀγωνιστὴν ἄνθρωπον καὶ ἐνάρετον. Ὁ γὰρ πίπερος πασῶν τῶν ἀρετῶν μυρεψικόν ἐστιν ἐπέκεινα· τὰ δὲ λάχανά εἰσιν τὰ κάλλη τοῦ παραδείσου καὶ τὰ ἄρρητα ἀγαθά, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν, ἅπερ ὁ ἀγωνιστὴς ἀξιοῦται διὰ τῶν ἀρετῶν ἀρτύματα ἐκείνου τοῦ πίπερος [φ. 74ᵃ].

43. Ὁ μῦθος. Ὧδε μένω καὶ ἂς φουρνίζω.

Ἑρμην. Ἐνταῦθα δι' ἡμᾶς ὁ λόγος ἐστὶν ἐν τῷδε τῷ βίῳ, ὡς παροίκους καὶ παρεπιδήμους· ἀλλοῦ δὲ τὰ ἔργα ἡμῶν φουρνίζομεν καὶ ἀποτιθέμεθα· καὶ εἰ μέν εἰσι καθαρὰ καὶ σωστικά, ἄγουσιν ἡμᾶς τότε εἰς τὴν ζωήν, εἰ δέ εἰσι φαῦλα ἄγουσιν ἡμᾶς εἰς τὴν κόλασιν τὴν αἰώνιον

44. Ὁ μῦθος. Ὅταν ὁ Χριστὸς εἰς τὸν σωρόν, ὁ διάβολος εἰς τὸ σακκίν.

Ἑρμ. Περὶ τῶν Ἰουδαίων ὁ λόγος λέγει τῶν ἐν τῇ ἐρήμῳ, ὅτε ὁ θεὸς τὸ μάνα [αὐτοὺς] καὶ τὴν ὀρτυγομήτραν τὰ τεσσαράκοντα

41, 5. λόγους Ἐὰν ἐρευνήσω κἀγὼ καιρῷ-

42, 4 ἀρτιῶν μυρ.

43, 3 ἀλλ' οὐδὲ τὰ ἔ. 4 καὶ ἀποθώμεθα.

44, 3 τῷ ἐν τῇ—6 ἐπέβαλεν αὐτοὺς, (δὶς ἐν τῷ κώδ. τὸ δεύτερον διαγεγραμμένον διὰ κιναβάρεως) ἔτη τῆς βρ. — 8 (μετὰ τὸ σακκίον δύο λέξεις « τῆς σαρκίον » διαγεγραμμέναι διὰ κιναβάρεως) — ἀχάριστοι. καὶ ἡλικία αὐτῶν τὸ σακκίον — τὸν δαίμονα κ,

ἔτη ἐνέπλησεν αὐτούς· τότε καὶ ὁ διάβολος ἀπὸ τῆς ἀριστερᾶς εἰσερχόμενος ἐπέβαλλεν αὐτοὺς εἰς βλασφημίας· καὶ ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν κατελάλουν τοῦ θεοῦ οἱ ἀχάριστοι· καὶ ⟨ὁ διάβολος τὸ σακκίν, τουτέστιν⟩ τὸ σακκίον τῆς σαρκὸς τῷ δαίμονι κατέσμιξαν.

45. Ὁ μῦθος. Ὄψιμος υἱὸς οὐχ ὄψεται πατέρα.

Ἑρμ. Ἐνταῦθα ὄψιμον υἱὸν ἐκεῖνον λέγει ὁ λόγος, τὸν λέγοντα τρυφήσω καὶ ἀπολαύσω τὸν κόσμον καὶ ἐγγὺς τοῦ θανάτου μετανοήσω καὶ σωθήσομαι· οὗτος οὐ μὴ ἀξιωθῇ ἰδεῖν τὸν οὐράνιον πατέρα, ὡς ἐνόμισεν. Πολλοὶ γὰρ βουλευσάμενοι, τὴν αὔριον οὐ κατέλαβον.

46. Ὁ μῦθος. Μήτε τοῦ κάμνοντος, μήτε τοῦ τρέχοντος.

Ἑρμ. Κἂν μὴ ὁ θεὸς εὐδοκήσῃ, καὶ ὁ τρέχων ματαίως πονεῖ καὶ ὁ φεύγων οὐ σώζεται, ἐὰν μὴ παρακαλῇ τὸν θεὸν ἐπὶ πᾶσιν.

47. Ὁ μῦθος. Πτωχός, πλούσιος, ἐὰν οὗς μὴ βάλῃ, οὐ κοιμᾶται.

Ἑρμ. Ἐνταῦθα ὁ λόγος λέγει· κἂν ἁμαρτωλοί, κἂν ⟨δίκαιοι⟩ ἐὰν μὴ ἀποδώσουν τὸν ⟨χοῦν⟩ τῷ χοΐ, ἀδύνατόν ἐστιν κοιμηθῆναι τὸν ὕπνον, ἐὰν οὐ συμβάλλῃ τὴν σάρκα ἐν τάφῳ· βροτοῦ γὰρ θνήσκοντος πᾶσα γῆ τάφος.

48. Ὁ μῦθος. Γλυκὺν τὸ φαεῖν, πικρὸν τὸ χέσειν.

Ἑρμ. Τῷ βιώσαντι ὁ λόγος λέγει· μένονται(;) οἱ ἐξ ἀρχῆς μέχρι τέλους τελείου βιώσαντες· ἑτέρως δὲ νοεῖται, ὅτι πολλοὶ εἰς τὴν ἀρχὴν εὐδοκ⟨ιμ⟩ήσαντες [φ. 74 β] πρὸς τὸ τέλος ὠλίσθησαν, ὡς ὁ προδότης Ἰούδας, καὶ ἄλλοι τὸν βίον μιάναντες ἐν αἰσχροεργίαις, περὶ τὸ τέλος μετενόησαν καὶ ἐσώθησαν, ὡς ὁ λῃστὴς καὶ ἡ πόρνη καὶ Μανασσῆς.

45, 2 Πρὸ τῆς λέξεως υἱὸν ἐγράφη πατέρα, καὶ ἐσβέσθη. — 3 τρύφησον καὶ ἀπόλαυσον
47, 1. Πωχὸς — ἐὰν οὐ συμβάλλει — 5 βροτὸς δὲ θνήσκοντα. — Ὁ βιβλιογράφος ἐξέλαβε βεβαίως τὸ βροτὸς ὡς γενικήν.
48, 1 Τὸ φάειν 2 μ. ἔξαρχοι μέχρι 3 βιώσαντος — ἕτερος — 5 ἄλλος — τῷ βίῳ μ.

49. Ὁ μῦθος. Ὡς ὁ κόσμος, καὶ ὁ Κοσμᾶς.

Ἑρμ. Κόσμον ὁ λόγος τὸν ἄνθρωπον λέγει· καὶ εἰ μὲν καλῶς, [ὡς] τὰς δέκα αἰσθήσεις ταῖς νοηταῖς καὶ αἰσθηταῖς ἐχρήσατο, κατὰ τὴν εὐαγγελικὴν φωνὴν τὴν λέγουσαν· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις* καὶ ὅσος χρυσὸς οὐκ ἦν κόσμῳ ἄξιος τὴν ἀνταμοιβὴν χαρίσεται ὁ πρύτανις θεὸς ἡμῶν.

50. Ὁ μῦθος. Ἐμὲ χερεὰ νερὸν πνίγει με.

Ἑρμ. Ἐνταῦθα ὁ κακοῦργος καὶ ἐχθρὸς ἡμῶν διάβολος, βλέπων διὰ τῆς χάριτος Χριστοῦ καὶ θεοῦ ἡμῶν, ὅτι ὑπερισχύει ἡ πίστις ἡμῶν καὶ βέλη νηπίων ἡγούμεθα τὰς αὐτοῦ μηχανὰς τῇ τοῦ σταυροῦ πανοπλίᾳ, λέγει πρὸς τοὺς αὐτοῦ μύστας· Τί θέλετε λέγειν πολλὰ καὶ προλέγειν καὶ ἀκούειν, κἀγὼ ἐν ὕδατος χερεᾷ πνίγομαι, ὅτι ἄνθρωπος βαπτιζόμενος ἐν τρισὶ προσώποις ἐν βραχεῖ ὕδωρ πνίγει με.

51. Ὁ μῦθος. Ὅπου φιλεῖς μὴ δανείζῃς καὶ ὅπου ἀγαπᾷς μὴ συχνάζῃς.

Ἑρμ. Ἐνταῦθα ὁ λόγος οὕτως φησίν, ὅπου φιλεῖς μὴ δανείζῃς, ἐπεὶ ὡς ἄνθρωποι ἁμαρτάνομεν πρὸς τὸν ⟨θεόν, ὅτι⟩, οὐδεὶς ἀναμάρτητος, εἰμὴ μόνος ὁ θεός· καὶ ὅπου ἀγαπᾷς μὴ συχνάζῃς, τουτέστιν εἰς [τὴν] τοῦ κόσμου τούτου τὰ πρόσκαιρα καὶ βραχέα καὶ πρὸς ὀλίγα φαινόμενα, ἵνα μὴ ζημιωθῇς ἐκεῖ τὰ ἄφθαρτα, ὡς ὁ πλούσιος ἐκεῖνος ὁ τὸν κόσμον κερδίσας καὶ τὴν ψυχὴν αὐτοῦ ἀπολέσας.

52. Ὁ μῦθος. Ἐδὰ νὰ ἴδῃς οὐ μὴ εὕρω ἐβγεῖν· ἐδῶ νὰ εἶσαι καὶ νὰ ἴδῃς.

Ἑρμ. Καταβὰς ὁ Ἰωάννης ὁ βαπτιστὴς καὶ πρόδρομος ἤρξατο λέγειν καὶ τοῖς ἐν τῷ ᾅδῃ εὐαγγελίζειν τὴν τοῦ σωτῆρος κατάβασιν· ἐσκίρτων δὲ καὶ ἔχαιρον ἀκούοντες οἱ προφῆται. Καὶ πρὸς αὐτοὺς ὁ ᾅδης ἀτενίσας εἶπεν· Ὧδε ἂς κατέλθῃ [φ. 75ᵛ] καὶ ἐγὼ δείξω ὑμῖν τί φρονεῖτε. Καταβὰς δὲ μετ' ὀλίγον ὁ Χριστὸς ἐν τῷ ᾅδῃ, λύσας τὰ δεσμὰ καὶ τοὺς μοχλοὺς συνέτριψεν καὶ τὰς πύλας συνέθλασε καὶ γυμνὸν τὸν ᾅδην ἐποίησε. Στραφεὶς δὲ ὁ Ἅδης πρὸς τοὺς

49, 2 οἱ μὲν καλῶς — 3 ταῖς νοηταῖς καὶ νοητὲς καὶ ἐσθηταῖς — 6 χαρίσηται — 50, 1 χαιρεᾷ — 4 νηπίων μιμούμενος τὰς — 6 ἐν ὕδατι χ.

ἑαυτοῦ λειτουργοὺς σύντρομος λέγει: Καλὰ εἶπεν, ὅπου εἶπεν· ἐδῶ νὰ εἶσαι καὶ νὰ ἴδῃς.

53. Ὁ μῦθος. Ποντικοῦ βουλὰς κόψει κάτα.

Ἑρμ. Ἐνταῦθα ὁ λόγος πρὸς τὰς ἐνθυμήσεις τοῦ ἐχθροῦ λέγει καί φησιν· νήφουσα καὶ διεγηγερμένη πρὸς θεὸν ψυχὴ κόψει, τουτέστιν ἀσφαλῆ αὐτῆς ποιήσει τὰ βουλεύματα, ⟨καὶ τὰ βουλεύματα⟩ τοῦ κεκρυμμένου ποντικοῦ ⟨τουτέστι τοῦ⟩ διαβόλου εἰς κενὸν διὰ τῆς χάριτος τοῦ Χριστοῦ ποιήσει.

54. Ὁ μῦθος. Εἰς τοῦ ἄλλου τὸ γιβέντισμα εὑρέθη τοῦ ἄλλου τὸ ἄλογον.

Ἑρμ. Ὁ λόγος φησίν, ὅτι εἶπον οἱ προφῆται: Καταβήσεται ὁ θεὸς ἐπὶ τῆς γῆς, ὡς τὸ πνεῦμα τὸ ἅγιον [ἔφη] πολυμερῶς καὶ πολυτρόπως αὐτοὺς ἐδίδαξε, καὶ [ὅσα] ἐπὶ τῆς γῆς ἐγιβέντισαν τὸν λόγον τοῦ θεοῦ, ⟨καὶ⟩ εὑρέθησαν οἱ ἀπόστολοι ἵπποι, καθὼς ἔφη· ἐπέβης ἐφ' ἵππους τοὺς ἀποστόλους σου καὶ ἡ ἱππασία σωτηρία.

55. Ὁ μῦθος. Ἀπὸ κλέπτην κλέψε καὶ κρῖμα οὐκ ἔχεις.

Ἑρμ. Συμβουλευτικῷ τῷ τρόπῳ τὴν ψυχὴν ὁ λόγος λέγει· ὅτι ἀπὸ κλέπτην νόησόν μου, ψυχή μου, τὰς αὐτοῦ μεθοδίας καὶ ἐνέδρας καὶ ἐξαγοράζου τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν καὶ μὴ γνῷῃ ἡ ἀριστερά σου τὶ ποιεῖ ἡ δεξιά σου· καὶ ἐὰν οὕτως κλέπτῃς κρῖμα οὐκ ἔχεις.

56 Ὁ μῦθος. Πρὸς τοὺς δύο οὐδὲ ὁ Ἡρακλῆς ἐκεῖνος.

Ἑρμ. Λέγεται μὲν καὶ περὶ τοῦ Ἀδάμ, ὅτι ἠπατήθη ὑπὸ τῶν δύο, τοῦ τε ὄφεως καὶ ⟨τῆς⟩ Εὔας· ὁ λόγος οὕτως φησί. τίς γὰρ καὶ δυνατὸς δυσὶ κυρίους δουλεύειν καὶ τοῖς δυσὶ χάριν ἀπονέμειν; Διὰ τοῦτο καὶ σύ, ὦ ψυχή, μὴ κατανεύσῃς ταῖς ἡδοναῖς τῶν παθῶν, καὶ ⟨γὰρ⟩ βδελυκτὰ ταῦτα τὰ γήϊνα, [φ. 75^{6}] ἵνα λάβῃς τὰ αἰώνια καὶ ἄφθαρτα ἀγαθὰ ἐκεῖνα.

53, 3 νύμφουσα καὶ διεγηγερμένην — ψυχὴν — 4 αὐτοῖς ποιήσω — 6 ἐποίησεν.
54, 1. Εἰς τὸ ἀλόγου —
56, 3 οὗτος φησι — 4 καὶ τὴν σὴν χαρὰν ἀπον.

57 Ὁ μῦθος. Ὅπου πολλοὶ πετεινοὶ ἐκεῖ ἡμέρα οὐ γίνεται.

Ἑρμ. Ἐνταῦθα ὁ λόγος πρὸς τὸν νοῦν καὶ τὴν καρδίαν τὸν λόγον ποιεῖται, καί φησιν, ὅπου πολλοὶ πετεινοί, τουτέστιν πολλοὶ μοχθηροὶ λογισμοὶ ἐν τῷ νοῒ εἰσφέρονται, ⟨ἐκεῖ ἡμέρα οὐ γίνεται,⟩ ἀλλὰ νύκτα ζοφώδης τε καὶ ἀβέβαιος.

58. Ὁ μῦθος. Μέγας ὁ ναὸς καὶ ὀλίγη ἡ χάρις.

Ἑρμ. Ἐνταῦθα ὁ λόγος μέγαν ναὸν τὸν ⟨ὑπὸ⟩ τοῦ Σολομῶντος ἐκείνου κτισθέντα [ὁ λόγος] λέγει· ὀλίγη ἡ χάρις εἶπε τοῖς Ἰουδαίοις καὶ ἑτέροις ἐξ ἄλλων ἐθνῶν, ⟨οἳ⟩ ἐγένοντο ἄμοιροι τῆς θεογνωσίας. Λέγεται δὲ καὶ ἄλλως μέγας ναὸς οἱ μεγαλοπρεπεῖς καὶ πρὸς τὴν ψυχὴν [εἰσὶν] ἀλόγιστοι καὶ ἄκαρποι τῶν θείων ἐντολῶν.

59. ⟨Ὁ⟩ μῦθος. Ἀναλαμπὴ χειμῶνος, δάκρυα ποιμένος.

Ἑρμ. Ἐνταῦθα ὁ λόγος πρὸς πάντα ἄνθρωπον τὸν λόγον ποιεῖται καί φησιν, ὅτι ἡ ἀναλαμπὴ γίνεται, ἡ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν παρουσία, ἐν χειμῶνι καὶ σαββάτῳ· πολλὰ δάκρυα ποιμένος εἰς ἀπολωλὸς πρόβατον γενήσεται· καὶ εὔχεσθε διὰ τὸν κύριον, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν ἐν σαββάτῳ καὶ χειμῶνι.

60. Ὁ μῦθ. « Ἔλα νὰ σὲ εἰπῶ εἰς τὸ ὀφτίν. — Ἐγὼ τοῦ ὠτίου καμένη εἶμαι ».

Ἑρμ. Ὁ σατανᾶς διὰ τοῦ νοὸς τὴν ψυχὴν δελεάζω, φησί, κἀγὼ τοῦ ὠτίου καμένη εἶμαι διὰ τῆς προμήτορος Εὔας, ἡ πάλαι ψιθυρίσασα διὰ τοῦ ὄφεως, καὶ φθορᾷ ὑπεπέσαμεν.

61. Ὁ μῦθ. Ἀπὸ πτωχὸν μὴ δανεισθῇς καὶ κλαίει καὶ ἀκολουθεῖ σε.

Ἑρμ. Πάλιν πρὸς τὴν ψυχὴν ὁ λόγος τὸν λόγον ποιεῖται καὶ φησιν. Ὦ ψυχὴ ταλαίπωρε, ἀπὸ πτωχὸν μὴ δανεισθῇς, ⟨ἤγουν ἀπὸ⟩ τὸν κόσμον τοῦτον· ἐπεὶ γὰρ τὸ στάσιμον οὐκ ἔχει οὗτος, οὐδὲ ἡ τρυφὴ τούτου ἐκεῖθεν δυνήσεται ἐμπλῆσαι τὴν σὴν γαστέρα· ἀλλὰ ἀκολου-

58, 2 τὸν τοῦ σώματος ἐκείνου — 4 ἐξ ἄλλοτε ἐ.
59, 1. Ἀναλάμπη χείρονος —
60, 2 τοῦτο καλῶμεν οἶμαι — 3-4 καόμεν οἶμαι.
61, 6 ἀκολουθήσε σοι —

θήσει σοι ἐν τοῖς καταχθονίοις τοῦ ᾅδου, ὡς τὸν πλούσιον ἐκεῖνον [φ. 76 α], ⟨καὶ⟩ μετὰ κλαυθμοῦ συνοδεύσει σοι, ὡς τὰς πέντε μωρὰς παρθένους ἐκείνας, τὰς μὴ ἐχούσας ἔλαιον ἐν ταῖς λαμπάσιν αὐτῶν.

62. Ὁ μῦθ. Ὅταν ψωριάσῃ ὁ γείτων σου κεντρέαν ἀγόραζε.

Ἑρμ. Ὁ λόγος πρὸς τὴν ψυχὴν ποιεῖται καί φησιν· ὅταν βλέπῃς τὸν νοῦν καὶ τὸ σῶμα, ὃ κατεσπίλωσεν ὁ σατανᾶς διὰ τῆς μοχθηρᾶς κακομηχανίας, διὰ τῶν ἀλλήλων (;) τροφῶν τῶν τε νοητῶν καὶ αἰσθητῶν, σὺ οὖν, ψυχή, κεντρέαν ἀγόραζε, τουτέστιν τὴν ἐλεημοσύνην διὰ μετανοίας, ὡς τῷ Κορνηλίῳ ἐκείνῳ ὁ ἄγγελος ἔφη. Νῆφε διηνεκῶς, ἵνα μή σε κολάσῃ, καὶ τὰ ἀμφότερα τῆς εἰδώλου καὶ δυσεξαλείπτου φθορᾶς [στενοχωρούμενος] (;).

63. ⟨Ὁ⟩ μῦθ. Ἀπὸ τὸν ὄρθρον ἔφευγα καὶ ἡ λειτουργία μὲ συναπάντησεν.

Ἑρμ. Στενοχωρούμενος ὁ σατανᾶς ὑπὸ τοῦ γένους τῶν ἀνθρώπων διὰ τῆς ⟨τοῦ⟩ θεανθρώπου παρουσίας καὶ ἀστοχήσας ὁ κακοῦργος ⟨καὶ ἰδὼν⟩ ἄπρακτα τὰ βέλη αὐτοῦ γενόμενα, ἔφη. Ἀπὸ τὸν ὄρθρον ἐφεύγαμεν, τουτέστιν ἀπὸ τῆς τοῦ οὐρανοῦ ταξιαρχίας, καὶ οὐδὲ πάλιν ἔφυγα τοῦ αὐγεστάτου (;) ἐκείνου ὄρθρου, ἀλλὰ καὶ συναπαντήσας με ὁ θεὸς λόγος ἐπεκράτησεν.

64. Ὁ μῦθος. Ἐκεῖ ὁποῦ ἐμείναμεν ὀψὲ ὁ Γιάννης καὶ ὅλοι ἐχόρευαν.

Ἑρμ. Ἐνταῦθα ὁ λόγος φησίν, ὅτι καταβαίνοντος τοῦ Χριστοῦ ἐν τῷ Ἅδῃ, ἐτριημέρευσεν ἐκεῖ· καὶ ἰδὼν αὐτὸν ὁ Ἰωάννης ὁ Πρόδρομος λέγει πρὸς τοὺς κατεχομένους. Οὗτός ἐστιν περὶ οὗ εἶπον ὑμῖν. Καὶ ἀκούσαντες οἱ προφῆται καὶ οἱ λοιποὶ ἤρξαντο χορεύειν καὶ σκιρτᾶν, ὅ τε Ἰωάννης καὶ οἱ λοιποί.

62, 1. Κέντρα τὸν ἀγόραζε (διωρθωμένον ἀντὶ τοῦ πρότερον γεγραμμένου ἀγόρασε) — 4 κακομοιχίας — 6 Βλ. Πράξ. Ἀπ. ι', 30. 31. — Πρβλ. Παῦλ. Β' πρὸς Τιμ. δ', 5. — 8. Ἡ τελευταία λέξις τῆς ἑρμηνείας εἶναι ἴσως διττογραφία τῆς πρώτης λέξεως τῆς ἑπομένης ἑρμηνείας.

63, 7 ἀλλὰ καὶ εἰπεῖν ὁ θεὸς λ.

65. Ὁ μῦθος. Ἄλλος ηὗρε τὸ λουτρὸν σάβουρον καὶ τὸ ποῦ στρώσειν οὐκ εἶχεν.

Ἑρμ. Ἐνταῦθα ὁ λόγος ἄλλον τὸν ᾅδην λέγει. Καταβάντος δὲ τοῦ θεοῦ ἐν τῷ ᾅδῃ, ἐκένωσε τοὺς τάφους ὁ λυτρωτὴς καὶ μηνύων ἐν τοῖς αὐτοῦ ταμείοις, τίνα τόπον στρώσειν οὐκ εἶχε· πάντας γὰρ ὁ ἀκόρεστος ᾅδης [φ. 76 β] ἐξέμεσε τοὺς ἀπ' αἰῶνας νεκρούς.

66. Ὁ μῦθος. Κλέπτης κλέπτου φουσκωτὰ λουκάνικα ἐπώλει· λέγει «Καμπανοῦ, καὶ ὅσα θέλῃς».

Ἑρμ. Τοῦτό ἐστιν, ἵνα ὑπερνικήσῃ, ἄνθρωπε, τὸ ἔργον σου εἰς τὸ δίκαιον, καμπανοῦ* τῆς ἡμέρας ἐκείνης· κλέπτου τὸν διάβολον ἐνταῦθα λέγει, ἵνα τῆς αὐτοῦ μεθοδίας διαδιδράσῃ τὸν ἐπάλληλον πειρασμόν· ἐπεὶ βλέπων σε(;) καὶ ἐπίγνωθι, ἄνθρωπε, ⟨ὅτι⟩ ἐν μέσῳ παγίδων πολλῶν διαβαίνεις καὶ ⟨ἐπὶ⟩ ἐπάλξεων πολλῶν περιπατεῖς.

67. Ὁ μῦθος. Ἐάν σε ἔλθῃ ἕνα καλόν, ἀπάντεχε καὶ ἄλλον.

Ἑρμ. Ἐνταῦθα ὁ λόγος πρὸς ἡμᾶς ποιεῖται καί φησιν. Ἐὰν ἡ χάρις τοῦ παναγίου πνεύματος ἐν σοὶ κατοικῇ καὶ γεύσηται ἡ καρδία τὸν Κύριον καὶ ὁ Κύριος τὴν καρδίαν καὶ σκύβαλα ἡγήσηται τοῦ κόσμου τὰ τερπνά, πάντεχε καὶ ἄλλον καλὸν εἰς τὴν ἡμέραν ἐκείνην τῆς ἀνταποδόσεως.

68. Ὁ μῦθος. Ἕως ⟨τὸ⟩ τρίτον καὶ ἡ ἀλήθεια.

Ἑρμ. Ἐπειδὴ ὁ θεὸς ἐν στύλῳ πυρὸς καὶ νεφέλης λελάληκε τῷ Μωϋσῇ καὶ τοῖς περὶ αὐτὸν καὶ οὐ συνιοῦσιν ἔτι Ἰουδαῖοι, εἶτα προφήτας ἐξαπέστειλε καὶ λαβόντες αὐτοὺς ἀπέκτειναν· εἶτα τί μετ' αὐτούς; Ἕως τὸ τρίτον ἡ ἀλήθεια· ὁ θεὸς λόγος ἐν ἡμῖν ἐπεδήμησεν καὶ ἐξήγαγεν ἡμᾶς ἐκ σκότους καὶ σκιᾶς θανάτου καὶ ἀνήγαγεν ἡμᾶς εἰς ἀναψυχήν.

65, 1 Ἄλλους —
66, 5 τὰς αὐτοῦ μ. διαδράσκει —
68, 3 οὐκ ἠσινηῶσι — 4 τί μετ' αὐτῶν;

69. Ὁ μ ῦ θ ο ς. Οἱ δύο τὸν ἕνα πείθουν τον καὶ οἱ τρεῖς καταπονοῦν τον.

Ἑρμ. Ὅταν ὁ ἄνθρωπος βαπτιζόμενος εἰς τρεῖς ὑποστάσεις καὶ ἐν τρισὶ προσώποις μία θεότης ἀδιαίρετος,* καταβάλλωσιν αὐτὸν καὶ αὐτὸς ἄρδην ἐν ὕδατι καταποντίζεται· διὰ τοῦτο καὶ οἱ τρεῖς καταπονοῦν τον.

70. Ὁ μ ῦ θ ο ς. Χάφτε με καὶ νὰ σὲ χάφτω.

Ἑρμ. Ἐνταῦθα ὁ πατὴρ πρὸς τοὺς αὐτὸν πιστεύοντας οὕτως ἔφη· ὅτι χάφτε με, τουτέστιν ὅ τι ἑνὶ τούτων τῶν ἀδελφῶν μου ἐποίησας ἐμοὶ ἐποίησας· ἐγώ σοι παρέξω τὴν τρυφὴν καὶ τῆς βασιλείας μου κληρονόμον ποιήσω.

(Ἕπονται ἐν φύλλοις 77α — 80α ἐρωταποκρίσεις περὶ ζητημάτων τῆς παλαιᾶς καὶ καινῆς διαθήκης).

69, 1. πείθονται—
70, 4 καὶ καὶ

Ε'.

(Ἐκ τοῦ ἀθωνικοῦ κώδικος Ἰβήρων ἀρ. 695).

1. [φ. 80^{6}] Ἐρώτ. Ἡμεῖς ψωμὶν οὐκ εἴχαμεν καὶ οἱ σκύλοι πίτταις ἔσυρναν.

Ἀπόκρ. Ἡμεῖς ποθοῦμεν [φ. 81^{a}] ἰδεῖν τὸν οὐράνιον ἄρτον καὶ Ἰουδαῖοι τὸν ἐσταύρωναν.

2. Ἐρώτ. Ὅταν ἔδωκεν ὁ θεὸς τὸ γέννημα, ὁ διάβολος ἔκλεψεν τὸ σακκίν.

Ἀπόκρ. Ὅταν ἐξέβαλεν ὁ θεὸς τοὺς Ἰσραηλίτας ἐξ Αἰγύπτου καὶ ἔδωκεν τὸ μάνα αὐτοῖς καὶ τὴν ὀρτυγομήτρα καὶ ἔμελλον πιστεύειν εἰς αὐτὸν ⟨οἱ⟩ Ἰουδαῖοι, ⟨ὁ διάβολος⟩ ἐπῆρεν τὸ σακκίν, ἤγουν τὸν λογισμὸν αὐτῶν ἵνα μὴ πιστεύουν.

3. Ἐρώτ. ⟨Ἂ⟩ν λείψῃ τὸ πιπέρι μου, νὰ ἰδῇς τὴν μαγειριάν σου.

Ἀπόκρ. Λέγει ὁ θεὸς ⟨πρὸς⟩ τοὺς ἀνθρώπους, ἂν λείψῃ ἡ βοήθειά μου ἀφ' ὑμῶν νὰ ἰδῶ τὸν ὄφελό σας.

4. Ἐρώτ. Ποντικῶν βουλὰς κόψει κάτα.

Ἀπόκρ. Βούλονται οἱ δαίμονες [φ. 81^{6}] ἀπολέσαι τοὺς ἀγαθοὺς ἀνθρώπους καὶ οὐκ ἰσχύσουσιν, διότι ⟨οἱ⟩ ἀγαθοὶ ἄνθρωποι πρὸς τὸν θεὸν ἐλπίζουσιν καὶ ὁ θεὸς κόπτει τὰς βουλὰς τῶν κεκρυμμένων ποντικῶν, ἤγουν τῶν ἀντικειμένων διαβόλων.

1, 1 ψωμήν—εἴ ἔχαμεν 2 πήτοις — 3 ποθούμεν — 4 Ἰουδαίοι.

2, 1 γέννημα — 2 σακῆν. 3. Ἰσραηλιτας — 4 ἔδωκέν αὐτοὺς καὶ τὴν ὀρτηγομήτρα καὶ ἔμελεν πιστέδειν. 5. Ἰουδαίοι ἐπήρεν τὸ σακκὴν 6. ἤγουν — αὐτοῦ — πιστέδουν. Τἀνωτέρω παρέχουσιν ἔννοιαν ἐπαρκῆ τῶν ἐν τῷ κώδικι ἀνορθογραφιῶν. Ἐν τοῖς ἑπομένοις κρίνω περιττὴν τὴν σημείωσιν τούτων.

3, 4 τὸν ὤφελώ σας.

5. Ἐρώτ. Ἡ γραῖα τὸ μεσοχείμωνον τετράγγουρον ἐθυμήθη.

Ἀπόκρ. Ἔρχουνται οἱ ἀνελεήμονες ἄγγελοι λαβεῖν τὴν τοῦ ἁμαρτωλοῦ ψυχὴν καὶ λέγει ἡ ἀθλία πρὸς τοὺς ἀγγέλους. «Δέομαι ὑμῶν, ἀγαθοὶ ἄγγελοι, ἐάσατέ με χρόνον ἕναν, ἵνα μετανοήσω ἢ μίαν ἑβδομάδαν ἢ μίαν ἡμέραν»· καὶ λέγουσιν οἱ ἄγγελοι· «ὦ ἀθλία ψυχὴ καὶ ταλαίπωρη, ὅλον σου τὸν βίον ἐν ἀμελείᾳ ἔζησας καὶ ἄρτι μετανοῆσαι θέλεις»;

6. Ἐρώτ. Ὅσον νὰ φυσήσωσιν οἱ ἄνεμοι ἔχασεν ἡ γραῖα τὸ ἀλεῦρί της.

[φ. 82 α] Ἀπόκρ. Ὅσον ἁμαρτάνομεν καθ' ἡμέραν ἐν ἀμελείᾳ, ἐν ῥᾳθυμίᾳ ἀπὸ τοῦ φθονεροῦ δαίμονος, αἰχμαλωτίζεται ἡ ψυχὴ καὶ οὐ φροντίζει.

7. Ἐρώτ. Περὶ νὰ κάμνω καὶ νὰ πεινῶ, ἂς κάθωμαι καὶ ἂς πεινῶ.

Ἀπόκρ. Ὁ διάβολος λέγει τοῦτο, ὅταν πολεμῇ τὸν ἄνθρωπον ἵνα ἀπολέσῃ αὐτὸν καὶ οὐ δύναται. Τότε λέγει· «Περὶ ⟨νὰ⟩ κάμνω καὶ νὰ πεινῶ, ἂς κάθωμαι καὶ ἂς πεινῶ.»

8. Ἐρώτ. Γλυκὺν τὸ φαγεῖν, πικρὸν ἐβγαίνει.

Ἀπόκρ. Γλυκὺν μὲν εὐφραίνεσθε καὶ χαίρεσθε εἰς τὸν κόσμον τοῦτον, πικρὸν δὲ εὕρῃ θέλετε τὴν αἰώνιον κόλασιν.

9. Ἐρώτ. Δῶ μένομεν καὶ ἀλλοῦ φουρνίζομεν.

[Ἀπόκρ.] Τοῦτο λέγει ἐδῶ μένομεν πάροικοι καὶ ἀλλοῦ [82 β] γράφουνται τὰ ἡμῶν ἁμαρτήματα.

10. Ἐρώτ. Ἡ γραῖα δαίμοναν οὐκ εἶχεν καὶ γουροῦνιν ἀγόραζεν.

Ἀπόκρ. Τοῦτο περὶ διὰ τὸν πλούσιον εἶπεν ὁ θεός· δίδει τὸν

5, 5. ἔᾶσαταί με χρόνον ἕναν ἢ ἵνα μετὰνοήσω μίαν ἡμέραν ἢ μίαν εὐδομάδαν
8, 1. ευγένην.
10, 1 γουρίνην αγόραζεν.

ἄνθρωπον πλοῦτον ν' ἀγοράζῃ τὴν βασιλείαν τοῦ θεοῦ καὶ αὐτὸς ἀγοράζει τόκον, κλεψίαν, μοιχείαν, πορνείαν, φιλαργυρίαν, ἤγουν τὴν αἰώνιον κόλασιν.

11. Ἐρώτ. Τίς Ἰεριχώ;

Ἀπόκρ. Ὁ κόσμος καὶ ὁ νόμος.

12. Ἐρώτ. Τίς ὁ λύχνος;

Ἀπόκρ. Ὁ Πρόδρομος.

13. Ἐρώτ. Τίς ἐστιν στατήρα;

Ἀπόκρ. Ὁ σταυρός.

14. Ἐρώτ. Τί δηλοῖ ἀμὴν ἀμὴν ἀμήν;

Ἀπόκρ. Ἀλήθεια, ἀλήθεια, λέγω ὑμῖν.

15. Ἐρώτ. Τί δηλοῖ Ἀδάμ;

Ἀπόκρ. Εἶναι οἱ τέσσαρες κόχαις τῆς γῆς. Ἔχει καὶ ὁ Ἀδὰμ τέσσαρα γράμματα, τὰ ὁποῖα λέγουν οὕτως· ἄλφα ἀνατολή, ἦ δέλτα δύσις, ἦ ἄλφα πάλιν ἄρκτος, τὸ δὲ μῦ λέγεται μεσημβρία· διατί ἐπῆρεν ὁ θεὸς ἀπὸ τὰ τέσσαρα μέρη τῆς γῆς καὶ ἐποίησεν τὸν ἄνθρωπον, διὰ τοῦτο ἐπωνόμασεν τὸ ὄνομά του Ἀδάμ.

16. Ἐρώτ. Τί δηλοῖ ἑβραϊκὰ ἀλληλούια, ἀλληλούια, ἀλληλούια;

⟨Ἀπόκρ.⟩ Ἔρχεται ὁ θεὸς καὶ δοξάσατε αὐτόν.

17. Ἐρώτ. Τί δηλοῖ χριστιανικὰ ἀλληλούια;

Ἀπόκρ. Ἦλθεν καὶ ἐφάνη ὁ θεὸς καὶ δοξάσατε αὐτόν.

18. Ἐρώτ. Πότε ἀπέθανεν ὁ τέταρτος ὁ κόσμος;

Ἀπόκρ. Ὅταν ἀπέκτεινεν ὁ Κάιν τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ.

19. Ἐρώτ. Πόσα παιδία ἐποίησεν ὁ Ἀδάμ;

Ἀπόκρ. Ξ', λ' ἄρση καὶ λ' θῆλυ.

20. Ἐρώτ. Πόσα ἔτη ἐποίησεν Ἀδὰμ εἰς τὸν παράδεισον;

Ἀπόκρ. Μόνον ὥρας β'. [φ. 83 β]

15, 2. Εἶπα ἦ τέσαρες —

21. Ἐρώτ. Τί τὸ πανδοχεῖον;

⟨Ἀπόκρ.⟩ Ἡ ἐκκλησία

22. ⟨Ἐρώτ.⟩ Τίς ὁ πανδοχεύς;

⟨Ἀπόκρ.⟩ Παῦλος ὁ Ἀπόστολος.

23. ⟨Ἐρώτ.⟩ Τί τὰ δύο δηνάρια;

Ἀπόκρ. Ἡ παλαιὰ καὶ νέα διαθήκη.

24. Ἐρώτ. Τίς ἡ τοῦ Ζαχαρίου κώφωσις;

Ἀπόκρ. Ἡ τοῦ παλαιοῦ κόσμου σιωπή.

25. Ἐρώτ. Τίς ἐγεννήθη καὶ οὐκ ἀπέθανεν;

Ἀπόκρ. Ἠλίας, Ἐνὼχ καὶ Ἰωάννης ὁ θεολόγος.

26. Ἐρώτ. Πόσοι ἄνδρες ἦσαν ἐξ ἐπαγγελίας;

Ἀπόκρ. Ἑπτά. Σήθ, Ἐνώχ, ⟨Ἰσαὰκ⟩ Σαμψών, [Ἡσάμ], Σαμουήλ, Ἰωάννης ὁ Πρόδρομος καὶ ἡ ἁγία Θεοτόκος.

27. Ἐρώτ. Τίς οὐρανὸν οὐκ εἶδεν καὶ ⟨ἐπὶ⟩ γῆς οὐ περιεπάτησεν καὶ θεῷ ἐπροσκύνησεν;

Ἀπόκρ. Ἰωάννης ὁ πρόδρομος, ἐσκίρτησεν εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ.

28. Ἐρώτ. Τίς εἶπεν ψέμα καὶ ἐσώθη καὶ τίς εἶπεν ἀλήθεια καὶ ἀπωλέσθη;

Ἀπόκρ. [φ. 84α]. Ψέμα εἶπεν ὁ Πέτρος ὁ ἀπόστολος, ὅτι οὐκ οἶδεν τὸν ἄνθρωπον καὶ ἐμετανόησεν καὶ ἐσώθη, καὶ ὁ προδότης Ἰούδας εἶπεν ἀλήθεια, οὗτός ἐστιν, καὶ ἀπωλέσθη.

24, 1. κοφε̃ς.
26, 1. ἄνδες

Γ.

[Ἐκ τῶν ἀθωνικῶν κωδ. Δοχειαρίου ἀρ. 243 (Δ). Καυσοκαλυβίων ἀρ. 14 φ. 205β-211α (Κ)].

Λόγοι παραβολικοί, οὗτοι διαφέρουσι, περὶ ψυχῆς.

1. [φ. 140ᵃ]. Μία γυνὴ ἐκτενίζετο καὶ ἡ ψυχὴ ἐπο⟨ν⟩τίζετο καὶ ὁ νοῦς φροντίζει.

Ὁ νοῦς ὁρᾶται τὴν ψυχὴν παρὰ τοῦ φθονεροῦ δαίμονος πο⟨ν⟩τιζομένην.

2. Ὡς ἐδέξου τὴν πηκτήν, δέξου καὶ τὴν ἐμπηκτήν.

Περὶ τοῦ πλουσίου λέγει· ὅτι ὡσὰν ἔφαγε πολλὰ καὶ ἐχάρη πολλὰ καὶ οὐδὲν ἐλέησεν πτωχόν, οὕτως ἂς δέχεται καὶ τὸ αἰώνιον πῦρ.

3. Πρὶν τοῦ ποταμοῦ σήκωνε τὰ ροῦχά σου.

Πρὶν τοῦ θανάτου μερίμνα διὰ τὴν ψυχήν σου, διὰ νὰ περάσῃς εὔκολα [φ 140, β) τὸν πύρινον ποταμόν.

4. Ποντικοῦ βουλὰς κόψει κάτος.

Λέγει ὅτι ψυχὴν ἐγηγερμένην καὶ νήφουσαν θεὸς οὐκ ἐγκατέλιπεν [αὐτήν], ἀλλὰ κόψει τὰς βουλὰς καὶ τὰ μηχανήματα τοῦ ἐχθροῦ.

5. Ἀπὸ κλέπτην κλέπτε καὶ κρῖμα οὐκ ἔχεις.

Τοῦτό ἐστιν, ὥσπερ ὁ διάβολος κλέπτης ἐστίν, οὕτως καὶ ἐσύ, ἄνθρωπε, πρόφθασον καὶ κλέπτε αὐτόν, καὶ σπούδαζε εἰς τὴν ἐκκλησίαν καὶ δίδε ἐλεημοσύνην, καὶ θέλεις κλέψει τοῦ διαβόλου τὰ ἔνεδρα καὶ δικαιώνεσαι.

Παραλείπεται ἡ σημείωσις τῶν ἀνορθογραφιῶν.

Ἐν τῇ ἐπιγραφῇ : παραβολοικαί, οὗτοι διὰ φέρουσι περὶ ψυχῆς (Δ) Ἐλλείπ. ἐν Κ. 1, 1. ἐκτενίζετον (Δ). καὶ νοῦς (Κ). 3 — 4. Περὶ τοῦ φθονεροῦ δαίμος ποτῆζομένη (Δ). περὶ—ποτιζομένη (Κ).

2, 1. πικτὴν—ἐμπικτήν. (Δ. Κ.) 2, ἐχάριν (Δ. Κ.).

4, 2 ψυχὴ ἐγυρουμένη (Δ.) ψυχὴ ἐγιρουμένη (Κ.) οὐ|κ ἐδήλωσεν (Κ. φ. 206α). ὁμοίως Δ. 5, 1 κρίμαν (Κ). 2 Τοῦτος ἐστὶν (Δ. Κ.) 3 σπούδαξε (Κ.) 4 ἔνεδρα (Κ.).

6. Ὅποῦ πολλοὶ πετεινοὶ κράζουν [φ. 141α] ἀργεῖ νὰ ξημερώσῃ.

Ὅπου εἶσὶν πολλοὶ ἄνθρωποι ἀνόητοι, ἐκεῖ οὐδεμία σωτηρίας ἐλπίς.

7. Μία ὥρα καὶ λαοῦ δερμάτι.

Διὰ μίαν μικρὰν ἐξομολόγησιν ἀληθινὴν δέχεται ὁ θεὸς τὴν ψυχήν.

8. Ἐὰν οὐκ ἔνε παχὺν τὸ φαρίν σου ⟨τί⟩ καὶ ἂν σηκώνῃ τὴν οὐράν του.

Ἐὰν ἰδῇς ὅτι οὐκ ὠφελεῖ τὴν ψυχήν σου ὁ κόσμος, σηκώσου καὶ φεῦγε εἰς τὴν μετάνοιάν σου.

9. Ἂς λείψῃ τὸ πιπέρι μου, νὰ ἰδῶ τὴν μαγειρίαν σου.

Ἐὰν λείψῃ τοῦ θεοῦ ἡ βοήθεια ἀπὸ τῶν ἀνθρώπων, ποσῶς οὐκ ὠφελοῦνται. [φ. 141 β].

10. « Πῶς ὑπάγει τὸ φαρίν σου; - Ὡς θωρεῖ τὸν καβαλλάριν ».

Καθὼς βλέπει ὁ ὑποτακτικὸς τὸν κύριον, οὕτως πολιτεύεται καὶ ἐκεῖνος.

11. Ἑκατὸν τυφλοὶ πρὸς ἕνα βλεπούμενον.

Ἑκατὸν ἁμαρτωλοὶ οὐκ ὠφελοῦνται πρὸς ἕνα δίκαιον.

12. Ἀββᾶς εἰς ὄρος κάθεται, οὔτε βλέπει, οὔτε λέγει.

Πᾶς ἐνάρετος ἄνθρωπος ἀγωνίζεται τὰ ἔργα τοῦ θεοῦ καὶ οὐχὶ τῶν ἀνθρώπων.

13. Πρὶν περάσῃς εἰς τὴν θάλασσαν δὸς τὸν ναῦλόν σου νὰ περάσῃς.

Πρὶν ν' ἀποθάνῃς κάμε ἐλεημοσύνην καὶ εὔκολον νὰ περάσῃς. [φ. 142α].

8, 1 Ἐάν. Κ φ. 206 δ.
9, 2. Ἀπόκρισις || Ἐὰν (Κ.) φ. 206^{δ} Κ. τοῦ τοῦ θ. (Δ.) τὸν ἄνθρωπον (Δ.).
10, 1. Ἐρ. Πῶς (Κ.)—θορὶς (Δ. Κ.) 3. Ἀπόκρισις. Καθὼς ἐβλέπει (Κ.)
11, 1 Ἐρ. Τυφλοὶ πρὸς ἕνε (Κ.) ρ' τυφλοὶ—(Δ.) Ἐρ. ἁμαρτωλοὶ (Κ.).
12, 2 Ἀπόκρισις Πάς (Κ.)
13, 1 Ἐρώτησις. Πρὶν (Κ.) τὸν αὖλον σου (Δ. Κ.) ἀποκρ Πρὶν ἀ (Κ.).

14. Διπλὰ ζώσου καὶ μὴ πλουτήσῃς.

Διὰ τὸ μοναχικὸν σχῆμα λέγει τοῦτο, ὅτι ζώσου τὴν δύναμιν τοῦ ἁγίου πνεύματος καὶ ἄφις τὰ πλούτη τοῦ κόσμου.

15. Ὄψιμος υἱὸς οὐκ ὄψεται πατέρα.

Τοῦτο ἡ ἀπόλαυσις τοῦ κόσμου ὅπου λέγει ὁ ἄνθρωπος «ἐὰν ἀπολαύσω τὸν κόσμον καλὰ καὶ εἰς τὸ γῆρας θέλω μετανοήσει»· καὶ ὁ θάνατος ἁρπάζει τὸν ἀμετανόητον καὶ οὐκ ὄψεται πατέρα, ἤγουν τὸν θεόν.

16. Ἑκατὸν δύο Παῦλοι ἀπέθανον καὶ ἑκατὸν δύο Παῦλοι ἔκλαυσαν.

Καὶ λέγει· πολλοί εἰσι δίκαιοι, ἀλλὰ ἄλλος ὑπὲρ ἄλλου οὐ λαμβάνει.

17. Ἐὰν μὲ γελάσῃς, νὰ φορέσω τὰ ῥοῦχά σου.

Οὕτω λέγει ὁ διάβολος πρὸς τοὺς ἐναρέ [φ. 142β] τους ἄνδρας· ὅτι πειράζει τους πάντοτε ὁ ἐχθρὸς καὶ τυχαίνει εἰς τὸ τέλος καὶ σκελίζει τους.

18. Ὅποῦ ἔχει πολὺ πιπέρι βάλλει καὶ εἰς τὰ λάχανα.

Ἄνθρωπος ὅπου ἔχει ἐλεημοσύνην, πᾶσα σοφία τὸν ἔρχεται ἀπὸ θεοῦ, καὶ πᾶσα εἰς ὅ τι χρῄζει.

19. Οὐδὲ τοῦ φεύγοντος, οὐδὲ τοῦ τρέχοντος, εἰμὶ τοῦ θεοῦ θέλοντος.

Ἤγουν χωρὶς θέλημα ⟨θεοῦ⟩ οὐ κατορθοῦται καλόν.

20. Ὅταν ἔδωκεν ὁ θεὸς τὸ ἀλεῦριν, ἐπῆρεν ὁ διάβολος τὸ σακκί.

Περὶ τοὺς Ἰουδαίους λέγει· ὅταν τοὺς ἐξήγαγεν ἐκ τῆς δουλείας

14, 1 Ἰπλὰ (Δ). ἀπόκρισις· διὰ (Κ.)

15, 1 Ἐρώτησις. Ὄψημος (Κ) 2 Ἀπόκρισις. Τοῦτο (Κ.). ὅποῦ (φ 207δ Κ.).

16, 1, Ἐρώτησις Ε. ρδ παῦλοι (Κ). ἀπόκρ. Πολλοὶ εἰσὶ (Κ.)

17, 1. Ἐρώτ. Ἐὰν (Κ.) ἀπόκρισις Οὕτο (Κ.) 3, πάντας ο ἐ.

18, 1 ἐρώτησις || ὅποῦ (Κ. φ 208 α). 2 πᾶσαν σοφίαν (Δ) σοφίαν τοῦ (Κ.) εἰς τί χρήζει ἐρώτησις (Κ.)

19, 3. ἀπόκρισις. Ἤγουν (Κ.)

20, 1. Ἐρώτησις· ἀπόκρισις ὅταν (Κ.) Ἀπόκρισις. Περὶ (Κ.) διάβολος || ἐ. (φ. 208δ Κ.)

τῶν Αἰγυπτίων καὶ ἔπεμψεν αὐτοὺς εἰς τὴν ὀρτυγο[φ. 143α]μήτραν, τότε ὁ διάβολος ἔδωκεν αὐτῶν τὴν δυστυχίαν καὶ ἐχάθησαν.

21. Γλυκὺν τὸ φαγεῖ, πικρὸν τὸ χέσει.

Περὶ τοῦ πλουσίου λέγει· ὅτι καθὼς εὐφραίνεται τὸν κόσμον καὶ ἁρπάζει καὶ συνάγει ἐξ ἀδίκων, οὕτως ἂς ὑπομένῃ καὶ τὸ αἰώνιον πῦρ.

22. Τὰ μακρὰ καὶ θαυμαστά, τὰ κοντὰ καὶ ἐπίκερδα.

Οἱ σοφοὶ τῶν ἀνθρώπων πρὶν τοῦ θανάτου ἑτοιμάζονται.

23. Τὸ καλὸν ἀρνὶ δύο μάνναις βυζάνει.

Πληροῦντες τὴν ἀγάπην τοῦ θεοῦ καὶ τοῦ πλησίου.

24. Ἂν θέλω κάμνει καὶ πεινῶ, κάλλιον ἂς κάθωμαι καὶ ἂς πεινῶ.

Ὁ διάβολος λέγει, ὅτι ἐὰν παραδέρνω νὰ [φ. 143β] καταλύσω ἄνθρωπον ἀγαθὸν καὶ οὐδὲν τὸ εὐοδώσω, καὶ ὁ κόπος ἂς μοῦ λείπῃ.

25. Κλείδωνε τὸ σπίτι σου καὶ τὸν γείτονά σου κλέπτην μὴ τὸν κάμνῃς.

Διὰ τὸν ἄνθρωπον λέγει· σφάλιζε τὴν ψυχήν σου καὶ τὸ σῶμά σου ἀπὸ τὴν ἁμαρτίαν, καὶ οὐ μὴ σὲ κλέψῃ ὁ διάβολος.

26. Τινὰς ἐκ τῆς γενεᾶς μας κονταρίαν οὐκ ἔδωκεν.

Ἄνθρωπος χωρὶς θέλημα θεοῦ τὸν ἐχθρὸν οὐ νικᾷ ποτε.

27. Ὅταν σὲ τάξουν γέννημα, τρέχε μὲ τὸ σακκί σου.

Ὅταν σὲ εἰπῇ ὁ πνευματικός σου, ἔλα εἰς μετάνοιαν, πορεύου μετὰ προθυμίας.

21, 1. Ἐρώτησις· ἀπόκρισις. (Κ.) Γλυκὴν τὸ φάγει (Δ. Κ.) 3 ὑπομίνη (Κ.)
22, 1. Ἐρώτησις. Ἀπόκρισις. Τὰ μ. — ἐπὶ κερδει. Ἐρώτησις. Ἡ σοφία (Κ.) ἐπὶ κερδει=ἐπικερδῆ 2 Ἡ σοφία (Δ.)
23, 1. Ἀπόκρισις. Ἐρώτησις. Τὸ (Κ.)
24, 1 Ἐρώτησις ἀπόκρισις (φ. 209α) Ἂν θ. (Κ.) Ἀπόκρισις. Ὁ δ. (Κ.) 3 νὰ νὰ
25, 1. Ἐρώτησις. Κλύδονε (Κ.) 3 Ἀπόκρισις. Διὰ τὸν (Κ.)
26, 1. Ἐρώτησις. Τινὰς ἐν τῇ γενεᾷ μας (Δ.) Ἀπόκρισις Ἄ. (Κ.)
27, 1. φ. 209 δ Ἐρώτησις. Ὅταν (Κ.) Ἀπόκρισις. Ὁσὰν σε εἰπεὶν (Κ.)

28. Εἴχαμεν φίλον κηπουρὸν καὶ ἐδίδαμέν τον γέννημα καὶ ἔδιδέ μας λάχανα.

[φ. 144α]. Ὁ θεὸς ἦν κηπουρός· καὶ ἂν δώσωμεν αὐτὸν δικαιοσύνην, δίδει μας καὶ αὐτὸς τὴν τροφὴν τοῦ παραδείσου.

29. Ἡ γραῖα τὸ μισοχείμωνον πεπόνι ἐθυμήθηκεν.

Περὶ τοῦ ἀνθρώπου ὅπου δὲν μετανοεῖ εἰς τὸν κόσμον, ἀμμὴ πορεύεται εἰς τὰς σαρκικὰς ἐπιθυμίας· ὅταν οὖν ἔλθῃ νὰ ἐβγῇ ἡ ψυχὴ ἐκ τοῦ σώματος, λέγει πρὸς τὸν ἀρχάγγελον· «ἄφες με νὰ μετανοήσω», καὶ γυρεύει πρᾶγμα ὁ ἄθλιος, ὅπου δὲν τὸ εὑρίσκει, ὥσπερ ἡ γραῖα τὸ πεπόνι.

30. Μάτια οὐκ εἶναι δάκρυα πόθεν νἄρθουν;

Ἐὰν δὲν πάρῃ ὁ ἄνθρωπος γυναῖκα, παιδία οὐ ποιεῖ, οὐδὲ δακρύει ποτέ. [φ. 144β].

31. Εὕρομεν τὸ λουτρὸν ἄδειον καὶ ποῦ λουστῆν οὐκ εἴχαμεν.

Εὗρεν ὁ Ἀδὰμ τὸν παράδεισον ἔμορφον καὶ μέγαν καὶ φθονήσας ὁ διάβολος ἐξέβαλεν αὐτὸν ἔξω.

32. Ἐγὼ εἰς μίαν χερίαν νερὸν πνίγομαι.

Ὁ δαίμονας εἰς ὀλίγον νερὸν πνίγεται, ὅταν βαπτίζωνται τὰ βρέφη ἀπὸ τοὺς ἱερεῖς· ἐκεῖ θάπτεται ὁ διάβολος καὶ τὸ βρέφος ἀνακαινοῦται.

33. Εὖ ῥέει τὸ ἀγγετό σας μὴ ἔχον τρῦπα.

Μὴ ἀμελῇς, ἄνθρωπε, ὅταν ἁμαρτάνῃς καὶ οὐκ εἰσέρχεσαι εἰς τὴν ἐκκλησίαν· διότι λέγει ὁ θεός, ἐν ᾧ εὕρω σε, ἐν αὐτῷ καὶ κρινῶ σε. [φ. 145 α]

28, 1. Ἐρώτησις· ἀπόκρισις. Ἤχαμεν (Κ) Ἐρώτησις ἀπόκρισις Ὁ θ. (Κ.)

29, 1. Ἐρώτησις· ἀπόκρισις. Ἡ (Κ.) πιπόνη (Κ.) εἰς τὰς (φ. 210 α). Κ.— 5 πράγματα (Δ —ὁποῦ οὐδὲν (Κ) — 6 πιπόνη. (Κ.)

30, 1. Ἐρώτησις. μάτια (Κ.) ἀπόκρ. Ἐὰν (Κ.)

31 ἀπόκρ. Εὗρεν (Κ.)

32, 1 Ἐρωτ. ἀπόκρ. ἐγὼ (Κ. φ. 210 δ) χρείαν (Δ) πνίγομεν (Κ.) 3 δάπτιται (Κ.) 4 ἀναμαινοῦται. (Κ).

33, 1 Ἐρώτησις. Εὐραῖοι (Κ.) 2 Ἀπόκρισις. Μὴ ἀλῆς (Κ). εἰσέρχεται (Κ) 3 διὸ της λ, (Κ.) εὑρῶ σε (Κ).

34. Ἡ γραῖα εἶδεν ὄνειρον καὶ οὐδὲν τὸ εἶπεν ὡς τὸ εἶδεν, ἀλλ' ὡς τὴν ἔδοξεν.

Περὶ τοὺς Ἰουδαίους λέγει ὅτι οἱ προφῆται ἐπροεῖπαν περὶ τοῦ Χριστοῦ καὶ αὐτοὶ οὐδὲν τὸ λέγουν ὡς τὸ ἤκουσαν, ἀλλὰ καθὼς τοὺς ἔδοξεν.

---

35. Εἷς τὸν μεγαλόφρονα ἔπεισεν ὄρνιν
ἔνδον οἰκίας ὡρολογεῖν εὐφρόνῃ,
καὶ τοὺς ἐνύπνους ἐξυπνίζειν ἐργάτας,
καὶ μὴ παρόντα προβλέπει τὸν ἥλιον.

(*Πετεινός*).

36. Ἀνήρ τις καὶ οὐκ ἄνθρωπος, ἐκ πέτρας λευκῆς ἐγεννήθη, καὶ τὸ ἔνδυμα αὐτοῦ ὡσεὶ χιὼν λευκόν ἐστιν καὶ [φ. 145^{6}] ἀχειροποίητον, ἡ δὲ κεφαλὴ αὐτοῦ ὡσεὶ τεῖχος πόλεως, καὶ ἐκ τῶν ποδῶν αὐτοῦ ἡ γῆ σαλεύεται· καὶ ἐκ τῶν πτερύγων αὐτοῦ ἀέρια ἔρχεται, καὶ ἐκ τῆς φωνῆς αὐτοῦ ἐξεγερθήσονται οἱ ἐν τῷ σκότει κεκοιμημένοι· οὗτος φθείρει μητέρα καὶ ἀδελφάς, καὶ ἐν τῷ τέλει μαρτυρήσει καὶ ἀποκεφαλισθήσεται, καὶ ὑπὸ τοῦ αἵματος αὐτοῦ βαπτισθήσεται καὶ ὀπτηθήσεται ὑπὸ πυρὸς καὶ οὕτως σωθήσεται καὶ ἐκ τῆς ὀσμῆς αὐτοῦ εὐφρανθήσονται πάντες. [φ. 146^{a}].

37. Ἕνα ἐζήτουν καὶ τρία εὗρον καὶ ὅπερ ἐπεθύμουν οὐδεὶς μὲ ἔδειξεν εἰμὴ νεκρὰ κόρη. — Περὶ τοῦ σταυροῦ λέγει τοῦ Χριστοῦ· ὅτε γὰρ ἐφανερώθησαν οἱ τρεῖς, ἔθηκαν πρῶτον ἐν τῷ νεκρῷ σώματι τοὺς δύο σταυροὺς τῶν λῃστῶν καὶ οὐκ ἀνέστη· ὅτε δὲ ἔθηκαν τοῦ Χριστοῦ, εὐθέως ἀνέστη· καὶ ἐφανερώθη ἡ δόξα αὐτοῦ.

34, 4. Ἐρώτησις. Ἀπόκρισις. Ηγρέα (Κ.) 3 πτοφῆται (Κ.) καὶ | αὐ (φ. 211α Κ.) τὸν κουσαν (Κ.)

35 Ἀντὶ τῶν αἰνιγμάτων ἔπονται ἐν τῷ Κ. φ. 211α - 218 δ. αἱ κατωτέρω συνημμέναι παραβολαί — Τὸ αἴνιγμα εἶναι γεγραμμένον καταλογάδην. — 2 εὐφρόνει — 4 παρόντος —

36 Ἡ λύσις (πετεινὸς) δὲν ἀναγράφεται, ἀφέθη ὅμως κενὸς χῶρος ἐν τῷ χειρογράφῳ πρὸς ἀναγραφήν.

37, 2 εἰμί.

[φ. 211ᵃ]. Παραβολαὶ ὀλίγαι τοῦ Εὐαγγελίου.

1. Ἐρώτησις. Εἶπεν ὁ κύριος τὴν παραβολὴν ταύτην· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ· καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ, καλέσας τοὺς κεκλημένους εἰς τοὺς γάμους.

Ἀπόκρισις. Τίς ὁ βασιλεύς; ὁ θεός. Τίς ὁ υἱός; ὁ σαρκωθεὶς λόγος τοῦ θεοῦ. Τίνες οἱ κεκλημένοι; ⟨οἱ⟩ προφῆται ⟨καὶ οἱ⟩ ἀπόστολοι. Οἱ δὲ οἳ οὐκ ἠθέλησαν ἐλθεῖν, ὁ ἰουδαϊκὸς λαός.

2. Ἐρώτ. Εἶπεν ὁ κύριος τὴν παραβολὴν ταύτην. [φ. 211 β]. Ἄνθρωπός τις ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ· καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, ἑκάστῳ κατὰ τὴν αὐτοῦ δύναμιν.

[Ἐρώτ.]. Ἀπόκρ. Οἱ τὰ πέντε τάλαντα λαβόντες, οἱ προφῆται, ὁ τὰ δύο ἕκαστος τῶν ἀποστόλων· ⟨ὁ⟩ δὲ τὸ ἓν λαβὼν καὶ ἀποκρύψας, ὁ Ἰούδας ἐστί, τὴν πίστιν ἀποκρύψας. [Ἀπόκρισις].

3. Ἐρώτ. Εἶπεν ὁ κύριος τὴν παραβολὴν ταύτην· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμαι, καὶ [αἱ] πέντε μωραί, καὶ τὰ ἑξῆς.

Ἀπόκρ. [φ. 212 α] Τίνες αἱ πέντε φρόνιμοι; πίστις ⟨ἐλπὶς⟩ ἀγάπη μακροθυμία καὶ ἐλεημοσύνη. Τίνες αἱ πέντε μωραί; Τὰ ἐναντία τούτων τῶν ἀρετῶν. Τίς ὁ νυμφίος; ὁ Χριστός. Τί τὸ ἔλαιον; ἡ ἐπιείκεια. Τίνες οἱ πωλοῦντες; οἱ πτωχοί· τίνες οἱ ἀγοράζοντες; οἱ ἐλεήμονες. Τίνες οἱ καθεύδοντες; οἱ ῥᾴθυμοι. Τίς ἡ κραυγή; ⟨ἡ⟩ σάλπιγξ τοῦ ἀρχαγγέλου. Τίνες οἱ εἰσελθόντες μετ' αὐτοῦ; οἱ ἐλεήμονες καὶ οἱ φυλάσσοντες τὰς ἐντολὰς αὐτοῦ.

4. Ἐρώτ. Εἶπεν ὁ κύριος τὴν παραβολὴν ταύτην· ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον [φ.212 β] αὐτοῦ· καὶ ἐν τῷ σπεί-

Παραβολαί. Ἐκ τοῦ κώδικος Καυσοκαλυβίων, ἀμέσως μετὰ τὴν 34 παροιμίαν.

1. Βλ. Ματθ. κδ', 2. 3

2. Βλ Ματθ κε', 15'—5 ταλ λαβῶν, —6 δύο, κλεῖττος τῶν ἀ.

3. Ματθ. κε', 1 κἑ. — 5. ἀγάπις, —6 τούτων τῶν αὐτῶν. — 7 τίς εἰ ἀγορά, οἱ ἐλαιοῦμονες. — 8 τῇ ἡ κραυγῇ —

4. Βλ. Βλ Λουκ. η', 5. Ματθ. ιγ', 3. Μάρκ. δ', 3 - 7 ἐπέπνιξαν — 15 ἀκοῦοντες: καὶ ὑπὸ μεριμνῶν —

ρειν αὐτόν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν καὶ κατεπατήθη καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγον αὐτό. Καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν πέτρα, καὶ φυὲν ἐξηράνθη, διὰ τὸ μὴ ἔχειν ἰκμάδα. Καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν καὶ συμφυεῖσαι αἱ ἄκανθαι ἀπέπνιξαν αὐτό. Καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθήν, καὶ φυὲν ἐποίησε καρπὸν ἑκατονταπλασίονα.

Ἀπόκρ. Ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ θεοῦ· οἱ δὲ παρὰ τὴν ὁδόν εἰσιν οἱ ἀκούοντες· εἶτα ἔρχεται ὁ διάβολος καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύ[φ. 213 α]σαντες σωθῶσιν· οἱ δὲ ἐπὶ τῆς πέτρας, οἳ ὅταν ἀκούσωσι μετὰ χαρᾶς δέχονται τὸν λόγον· καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς καιρὸν πιστεύουσι καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται. Τὸ δὲ εἰς τὰς ἀκάνθας πεσὸν ἔστιν ὁ Ἰούδας, ἀπελθὼν γὰρ ἀπήγξατο· ἢ καὶ πρὸς τοὺς ἀκούοντας, οἳ ὑπὸ μεριμνῶν καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι συμπνίγονται καὶ οὐ τελεσφοροῦσι. Τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν προφῆται καὶ ἀπόστολοι καὶ οἱ λοιποί.

5. Ἐρώτ. Εἶπεν ὁ κύριος τὴν παραβολὴν ταύτην. Ἄνθρωπός τις εἶχε δύο υἱούς· καὶ εἶπεν ὁ νε[φ. 213 β]ώτερος αὐτῶν τῷ πατρί, Πάτερ δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας.

Ἀπόκρ. Τίς ⟨ὁ⟩ ἄνθρωπος; ὁ θεός. Τίνες οἱ δύο υἱοί; οἱ δίκαιοι καὶ οἱ ἁμαρτωλοί· ὁ νεώτερος υἱός ἐστιν ὁ τὴν ἄστατον γνώμην ἔχων· τὸ δὲ ἐπιβάλλον μέρος ⟨τῆς οὐσίας⟩ τὰ λόγια τοῦ θεοῦ καὶ ⟨αἱ⟩ ἐντολαὶ αὐτοῦ.

6. Ἐρώτ. Ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακρὰν τοῦ λαβεῖν βασιλείαν καὶ τὰ ἑξῆς.

Ἀπόκρ. Ἄνθρωπος ὁ θεός· χώρα μακρὰ ἡ ἐπὶ γῆς κατὰ σάρκα παρουσία αὐτοῦ· ἡ δὲ βασιλεία, ἡ δευτέρα παρουσία· οἱ δὲ δοῦλοι εἰσὶν οἱ προφῆται ἀπόστολοι [φ. 214 α] καὶ μάρτυρες. Ἡ μνᾶ ἐστὶ ἡ χάρις, ἣν ἔλαβεν Ἰούδας· ὁμοίως καὶ τὸ τάλαντον.

7. Ἐρώτ. Ἀπέλθατε εἰς τὴν ἀπέναντι κώμην καὶ εὑρήσετε ἄνθρωπον καὶ πῶλον δεδεμένον.

οι

5. Λουκ. ιε', 11 κέ. — 3 δὸς με — 5 ὁ τὴν ἀστάκτον γνωμη ἔχων. —
6. Λουκ. ιθ', 12. — 2 καὶ καὶ τὰ ἑξῆς. 5 Γυμνᾶς ἐστὶ ἡ χάρις. —
7. Λουκ. ιθ', 30. Ματθ. κα', 2. Μάρκ. ια', 2. — 3. ἡ κόμης, ὁ κόσμος.

Ἀπόκ. Τίς ἡ κώμη; ὁ κόσμος· ὁ ὄνος; οἱ Ἰουδαῖοι· οἱ πῶλοι; οἱ Χριστιανοί· πῶλος ἀρεστὴ (;) ἡ ἀγνωσία καὶ ἡ ἀλογία.

8. Ἐρώτ. Ἀπέλθατε εἰς τὴν ἀπέναντι κώμην πρὸς τὸν δεῖνα καὶ εἴπατε αὐτῷ. Ὁ διδάσκαλος λέγει, πρὸς σὲ ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου.

Ἀπόκρ. Τίς ἐστι ἡ πόλις; ὁ ᾅδης· ὁ δεῖνας; ὁ [φ. 214 β] Ἀδάμ, ἔμελλε γὰρ ἐγεῖραι τοῦτον ἐκ νεκρῶν.

9. Ἐρώτ. Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία.

Ἀπόκ. Ζύμη ἐστὶ ὁ λόγος τοῦ θεοῦ· γυνὴ δὲ ἡ φύσις ἡ ἡμετέρα τῶν ἀνθρώπων· σάτα τρία, ψυχὴ νοῦς καὶ σῶμα· τὸ δὲ «ἕως οὗ ἐζυμώθη ὅλον» τοὐτέστιν ἕως τὴν ἡμετέραν σάρκαν ἀφθαρτοποιήσας διὰ τῆς αὐτοῦ τριημέρου ἐγέρσεως, ὁ Χριστὸς πρὸς τὸν θρόνον τὸν πατρικὸν ἀνεβίβασεν.

10. Ἐρώτ. Οὐδεὶς βάλλει νέον οἶνον εἰς ἀσκοὺς παλαιούς.

Ἀποκ. Οἶνος νέος ἡ χάρις τοῦ θεοῦ· οἶνος παλαιός, ὁ νόμος, ⟨ἀσ⟩κοὶ νέοι, οἱ χριστιανοί. [φ. 215ᵃ].

11. Ἐρώτ. Δύο ἀλέθουσαι ἐν τῷ μύλωνι ⟨μία παραλαμβάνεται καὶ μία ἀφίεται⟩.

Ἀπόκ. [Ἡ ψυχή· καὶ τὸ σῶμα ἀφίεται]. Τίς ὁ μύλος; ὁ βίος· τίς ἡ παραλαμβάνεται; ἡ ψυχή· καὶ τὸ σῶμα ἀφίεται.

12. ⟨Ἐρώτ.⟩ [Ἀπόκρισις]. Τί κοινὸν ἔχει ὁ οὐρανὸς καὶ ἡ γῆ;

Ἀπόκρ. Ἄνω ὕδωρ, κάτω ὕδωρ· ἄνω πῦρ, κάτω πῦρ· ἄνω νεφέλη, κάτω νεφέλη.

13. Ἐρώτ. Ποία γωνία βαστάζει τὸ θεμέλιον τῆς γῆς;

Ἀπόκρ. Ἡ θεοτόκος τὸν κύριον τῆς δόξης.

8. Ματθ. κς', 18.-3 μαθητῶν μων. 4 ὁ ὁ Ἀδάμ.
9. Ματθ. ιγ', 33. Λουκ. ιγ', 20 Βλ. καὶ Krumbacher. MGS. σ. 264-6.-4. τῶ δὲ ἑως θ τοῦ ζημο ὅλον-
10. Ματθ. θ'; 17.-1 βαλὸν νέον-
11. Ματθ. κδ', 41. Λουκ. ιζ', 35.-1. Λύο ἀ.
12. Βλ. ἀνωτέρω σ.
13. Βλ. ἀνωτέρω σ.

14. Ἐρώτ. Ῥαββουνὶ τί λέγει;

Ἀπόκρ. Διδάσκαλε, ποῦ μένεις;

15. Ἐρώτ. Τίς μὴ γεννηθεὶς ἀπέθανε, καὶ εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ εἰσῆλθεν;

Ἀπόκρ. Ὁ Ἀδάμ.

16. Ἐρώτ. Πότε ἐχάρη ὁ κόσμος; [φ. 215β].

Ἀπόκρ. Ὅτε ἐξῆλθε Νῶε ἐκ τῆς κιβωτοῦ.

17. Ἐρώτ. Πόσοι ἐξ ἐπαγγελίας ἐγεννήθησαν;

Ἀπόκρ. Ἑπτά, ἤγουν Σαμψών, Σήθ, Ἐνώχ, Ἰσαάκ, Σαμοήλ, ἡ θεοτόκος καὶ ὁ ἅγιος Ἰωάννης ὁ Πρόδρομος.

18. Ἐρώτ. Διὰ πόσων στοιχείων ἵσταται ὁ κόσμος;

Ἀπόκρ. Διὰ τεσσάρων· διὰ πυρὸς καὶ ὕδατος καὶ ἀέρος καὶ γῆς.

19. ⟨Ἐ⟩ρώτ. Διὰ πόσων στοιχείων εἵστήκει ὁ ἄνθρωπος;

Ἀπόκρ. Διὰ τεσσάρων· ἐξ αἵματος καὶ φλέγματος καὶ θυμοῦ καὶ χολῆς.

20. Ἐρώτ. Αἱ ε΄ αἰσθήσεις ⟨τοῦ⟩ ἀνθρώπου τί δηλοῦν;

Ἀπόκρ. Ἐν τῇ ὁράσει τὸ λευκὸν καὶ τὸ μέλαν· ἐν δὲ τῇ γεύσει τὸ γλυκὺ καὶ τὸ πικρόν· ἐν δὲ τῇ ἀκοῇ τὸ ὀξὺ καὶ τὸ βαρύ· ἐν δὲ τῇ ἁφῇ τὸ θερμὸν καὶ τὸ ψυχρὸν [φ. 216α].

21. Ἐρώτ. Ποιὸς νεκρὸς βαστᾷ τὸν ζῶντα;

Ἀπόκρ. Ἡ ψυχὴ τὸ σῶμα.

22. Ἐρώτ. Διατὶ εἶχεν ὁ Χριστὸς δώδεκα μαθητάς, καὶ οὐδὲ πλέον, οὔτε ἔλαττον;

Ἀπόκρ. Διὰ τὰ δώδεκα σκῆπτρα, ἃ εἶχεν ὁ Ἰσραήλ.

23. Ἐρώτ. Καὶ διατί ἐκ τῶν δώδεκα τέσσαρις εὐαγγελίσαντο;

Ἀπόκρ. Διότι καὶ τέσσαρα ζῶα βαστάζουν τὸν θρόνον τοῦ θεοῦ, ἤγουν ἄνθρωπος ταῦρος ἀετὸς καὶ λέων, καὶ κατὰ μίμησιν αὐτῶν δ΄ εὐαγγελισταί εἰσι.

14. Ἰωάν. κ', 16. Μάρκ ι', 51.-1 Ῥαμβουνεὶ-
15, 1 γεννηθὲν-
18, 3 αἔρου-
20, 2. μέλανο·- 3 τὸ ὀξῶ τὸ βαρύν,- 4 τοῦ θερμοῦ καὶ τῆς ψυχῆς.
21, 1 τὸν ζώντας.
23, 1 εὐαγγελίσοντο; 3 βαστάξουν-

24. Ἐρώτ. Διατί ἀφῆκεν ὁ θεὸς τὸν διάβολον ἐν τῷ κόσμῳ καὶ ἐπηρεάζει τοὺς ἀνθρώπους;

〈Ἀπόκρ.〉 Ἵνα γνωρίσῃ ἕκαστος τὴν οἰκείαν δύναμιν καὶ ἐργασίαν τὸ πῶς ἀντιστήκει τῷ ἐχθρῷ, καὶ οὕτως νὰ ἀπολαμβάνῃ καὶ τὸν μισθόν· καὶ μα[φ. 216α]κάριος ὁ δυνάμενος ῥίψαι καὶ καταργῆσαι αὐτὸν τὸν ἐχθρόν.

25. Ἐρώτ. Τί ἐκ τῶν δύο ἐποίησεν ὁ θεὸς πρῶτον, τὸν οὐρανὸν ἢ τὴν γῆν;

Ἀπόκρ. Οὔτε τὸν οὐρανὸν ἐποίησε πρὸ τῆς γῆς, οὔτε τὴν γῆν πρὸ τοῦ οὐρανοῦ, ἀλλ' εὐθὺς εἶπεν καὶ ἐγένοντο ἅμα.

26. Ἐρώτ. Ποῖος ἐκ τῶν δικαίων οὐκ ἐλάλει μῆνας ι';

Ἀπόκρ. Ζαχαρίας ὁ προφήτης, ἰδὼν τὴν ὀπτασίαν ἐν τῷ ναῷ οὐκ ἐλάλησεν μῆνας ι' καὶ ἡμέρας θ'.

27. Ἐρώτ. Τίς οὐρανὸν οὐκ εἶδεν καὶ γῆν οὐκ ἐπάτησεν καὶ θεὸν ἐπροσκύνησεν;

Ἀπόκρ. Ἰωάννης ὁ Πρόδρομος.

28. 〈Ἐρώτ.〉 Τί δηλοῖ τὸ ἅγιον σή[φ. 217α]μανδρον;

Ἀπόκρ. Ἐστὶν ἡ καθομοίωσις τῆς σάλπιγγος τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας, ἐν ᾗ μέλλει σαλπίσαι ὁ ἄγγελος καὶ ἐξυπνίσαι τοὺς ἀπ' αἰῶνος κεκοιμημένους· οὕτω καὶ τὸ ἅγιον σήμανδρον ἀνιστᾷ τοὺς ὑπνοῦντας πρὸς δοξολογίαν θεοῦ.

29. Ἐρώτ. Ἄβροχος καιρός, ποταμὸς πόρον οὐκ ἔχει.

Ἀπόκρ. Ἄβροχος καιρός, ἡ ὑπεραγία θεοτόκος· ἀπέραντος ποταμός, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος.

30 Ἐρώτ. Ἆρα ἐπάνω τοῦ οὐρανοῦ τί ἐστιν;

Ἀπόκρ. Ἀπάνω τοῦ οὐρανοῦ ἐστιν ὕδωρ, καὶ ἐπάνω θεότης, καὶ ἐπάνω φῶς ἀέναον.

24, 2 καὶ ἐπε$^{\rho}$-

26. Λουκ. α', 20.

27. Διότι ἐσκίρτησεν ἐν τῇ κοιλίᾳ τῆς μητρός, ὅτε ἠσπάσθη ταύτην ἡ θεοτόκος (Λουκ. α', 41).

28, 2 σάλπικος — 5 ἐξιπνοῦντας-

29, 2 ἀπεράντους-

30, 1. Ἐρώτησις ἐν τῇ ὥᾳ, ἐν δὲ τῷ κειμένῳ διαγεγραμμένον τὸ Ἀπόκρισις.

31. Ἐρώτ. Καὶ ὑποκάτω τοῦ οὐρανοῦ τί ἐστιν; [φ. 217β.]

Ἀπόκρ. Ἀστήρ, ἀθὴρ καὶ νεφέλαι.

32. Ἐρώτ. Καὶ ὑποκάτω τῆς γῆς τί ἐστιν;

Ἀπόκρ. Ὕδωρ, καὶ παρακάτω πῦρ, καὶ παρακάτω ᾅδης, καὶ παρακάτω ὄμβρος, καὶ παρακάτω τάρταρος.

33. Ἐρώτ. Πῶς ἑρμηνεύεται τὸ ἀλληλούια, δήλωσον ἡμῖν.

Ἀπόκρ. Κατ' ἑβραϊκὴν διάλεξιν ἑρμηνεύεται οὕτως· ἀντὶ τοῦ ἄλ ἔρχεται, ἀντὶ τοῦ ἦλ ἐφάνη, ἀντὶ τοῦ οὐια ὁ θεός· τουτέστι ἔρχεται ἐφάνη ὁ θεός.

34. Ἐρώτ. Πόθεν κινοῦνται ἐν τῇ καρδίᾳ τοῦ ἀνθρώπου λογισμοὶ καὶ λόγοι βλάσφημοι καὶ ἀθέμιτοι καὶ αὐτὸν τὸν θεὸν πολλάκις [φ. 218α] ὑβρίζοντες, οὓς καὶ οὐκ ἐβούλετο λαλῆσαι ἡ ψυχὴ ἢ γλῶσσα [τοῦ] ἀνθρώπου ὀνομάσαι;

